BYZANTINE GREEK SERIES · VOLUME 8

Byzantine Hymns

ΥΜΝΟΙ ΚΑΙ ΩΙΔΑΙ

Byzantine Hymns

From Gregory of Nazianzus to Kassia

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 8 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows W. Christ and M. Paranikas,
Anthologia Graeca Carminum Christianorum (Leipzig, 1871)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

CONTENTS

GREGORY OF NAZIANZUS

I · A Hymn to Christ 9
II · A Hymn to God 13
III · A Hymn to Christ After the Easter Silence 14
IV · To His Own Soul 18
V · A Morning Prayer 31
VI · An Evening Confession 32
VII · An Evening Hymn 33
VIII · Counsel to a Virgin 36

SYNESIUS OF CYRENE

I · The Lyre and the Divine Song 53
II · A Morning Hymn 63
III · The Triad 70
III · The Hymn of All Things 89
III · The Journey from Thrace 100
IV · At Every Hour 121
V · The Son of the Bride 143
VI · The Ineffable Birth 148

SYNESIUS OF CYRENE

(continued)

VII · The Magi's Gifts 151
VIII · A Prayer for His Household 154
IX · The Descent and the Ascension 158
X · Remember, Christ 163

THE AKATHIST HYMN

The Akathist Hymn 167

ANDREW OF CRETE

The Great Canon, Part One 191

COSMAS THE MELODIST

I · On the Exaltation of the Cross 225
II · On the Nativity 242
XIII · On Holy Saturday 259
XIV · On Pentecost 276

JOHN OF DAMASCUS

I · An Iambic Canon on the Nativity 289
IV · On Easter Sunday 301
V · On Thomas Sunday 313

KASSIA

I · On the Nativity 329
II · On the Birth of John the Baptist 330
III · The Sinful Woman (Holy Wednesday) 332

GREGORY OF NAZIANZUS

ΥΜΝΟΙ ΚΑΙ ΩΙΔΑΙ

Hymns and Songs

Σὲ τὸν ἄφθιτον μονάρχην

I · A HYMN TO CHRIST

Gregory asks to sing the immortal sole ruler, through whom hymns, angels, the ages, the sun, the moon, and the stars exist, and through whom man, a rational creature, can know the divine. God made all things and holds them in order; his Word, the Son, is consubstantial and equal in honor with the Father, and the Holy Spirit guards all. Gregory names the living Trinity, beginningless, unknowable, and all-seeing, and asks the Father for mercy, a clean conscience, and grace when Christ comes to reign.

Σὲ τὸν ἄφθιτον μονάρχην
You the imperishable sole-ruler

δὸς ἀνυμνεῖν, δὸς ἀείδειν,
grant to-hymn grant to-sing

τὸν ἄνακτα, τὸν δεσπότην,
the king the master

δι' ὃν ὕμνος, δι' ὃν αἶνος,
because-of whom (the)-hymn because-of whom (the)-praise

δι' ὃν ἀγγέλων χορεία,
because-of whom of-angels (the)-dance

δι' ὃν αἰῶνες ἄπαυστοι,
because-of whom (the)-ages unceasing

δι' ὃν ἥλιος προλάμπει,
because-of whom (the)-sun shines-forth

δι' ὃν ὁ δρόμος σελήνης,
because-of whom the course of-(the)-moon

δι' ὃν ἄστρων μέγα κάλλος,
because-of whom of-(the)-stars (the)-great beauty

δι᾽ ὃν ἄνθρωπος ὁ σεμνὸς
because-of whom man the august
ἔλαχεν νοεῖν τὸ θεῖον,
was-allotted to-understand the divine
λογικὸν ζῶον ὑπάρχων·
(a)-rational living-being being
σὺ γὰρ ἔκτισας τὰ πάντα,
you for created the all(-things)
παρέχων τάξιν ἑκάστῳ,
granting order to-each
συνέχων τε τῇ προνοίᾳ·
holding-together and by-the providence
λόγον εἶπας, πέλεν ἔργον
(a)-word you-spoke became (the)-work
ὁ λόγος σοῦ, θεὸς υἱός·
the word your God son
ὁμοούσιος γάρ ἐστιν,
consubstantial for he-is
ὁμότιμος τῷ τεκόντι,
equal-in-honor to-the(-one) having-begotten
ὃς ἐφήρμοσεν τὰ πάντα,
who fitted-together the all(-things)
ἵνα πάντων βασιλεύσῃ·
that over-all he-might-reign
περιλαμβάνον δὲ πάντα
embracing and all(-things)
ἅγιον πνεῦμα τὸ θεῖον
holy spirit the divine
προνοούμενον φυλάσσει.
providing guards

ι · Σὲ τὸν ἄφθιτον μονάρχην

Τριάδα ζῶσαν ἐρῶ σε,
Trinity living I-will-call you
ἕνα καὶ μόνον μονάρχην,
one and only sole-ruler
φύσιν ἄτρεπτον, ἄναρχον,
nature unchangeable beginningless
φύσιν οὐσίας ἀφράστου,
nature of-essence ineffable
σοφίας νοῦν ἀνέφικτον,
of-wisdom mind unattainable
κράτος οὐρανῶν ἄπαυστον,
might of-heavens unceasing
ἄτερ ἀρχῆς, ἀπέραντον,
without beginning boundless
ἀκατασκόπητον αὐγήν,
unsearchable radiance
ἐφορῶσαν δὲ τὰ πάντα,
overseeing and the all(-things)
βάθος οὐδὲν ἀγνοοῦσαν
depth no being-ignorant-of
ἀπὸ γῆς μέχρις ἀβύσσου.
from earth as-far-as (the)-abyss

Πάτερ, ἵλεως γενοῦ μοι,
Father merciful become to-me
διὰ παντὸς θεραπεύειν
through all to-serve
τὸ σέβασμα τοῦτο δός μοι.
the worship this grant me

τὰ δ᾽ ἁμαρτήματα ῥύψον,
the and sins wash-away
τὸ συνειδὸς ἐκκαθαίρων
the conscience purifying
ἀπὸ πάσης κακονοίας,
from all evil-mindedness
ἵνα δοξάσω τὸ θεῖον,
that I-may-glorify the divine
ὁσίας χεῖρας ἐπαίρων,
holy hands raising
ἵνα Χριστὸν εὐλογήσω,
that Christ I-may-bless
γόνυ κάμπτων ἱκετεύσω,
(the)-knee bending I-may-entreat
τότε προσλαβεῖν με δοῦλον,
then to-receive me (as)-servant
ὅταν ἔλθῃ βασιλεύσων.
when he-comes to-reign
Πάτερ, ἵλεως γενοῦ μοι,
Father merciful become to-me
ἔλεον καὶ χάριν εὕρω,
mercy and grace may-I-find
ὅτι δόξα καὶ χάρις σοι
for glory and grace to-you
ἄχρις αἰῶνος ἀμέτρου.
until (the)-age immeasurable

Ὦ πάντων ἐπέκεινα

II · A HYMN TO GOD

A hymn to the God beyond all. No word can hymn him and no mind grasp him, for he made all that is spoken and thought. All things, thinking and unthinking, honor him; all longings and pangs turn to him, and all things utter him a silent hymn. He is the end of all, one and all and none, the only unnamable. Gregory asks him to be merciful, and closes on the hymn's first line.

Ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο σε μέλπειν;
O of-all beyond(-one) what for (is)-right other(-than-this) you to-sing
πῶς λόγος ὑμνήσει σε; σὺ γὰρ λόγῳ οὐδενὶ ῥητός.
how (the)-word will-hymn you you for by-word no speakable
πῶς νόος ἀθρήσει σε; σὺ γὰρ νόῳ οὐδενὶ ληπτός,
how (the)-mind will-gaze-on you you for by-mind no graspable
μοῦνος ἐὼν ἄφραστος, ἐπεὶ τέκες ὅσσα λαλεῖται,
alone being unutterable since you-begot whatever is-spoken
μοῦνος ἐὼν ἄγνωστος, ἐπεὶ τέκες ὅσσα νοεῖται. 5
alone being unknowable since you-begot whatever is-thought
Πάντα σε καὶ νοέοντα καὶ οὐ νοέοντα γεραίρει·
All(-things) you both thinking and not thinking honor
ξυνοὶ γάρ τε πόθοι, ξυναὶ δ' ὠδῖνες ἁπάντων
common for and longings common and pangs of-all(-things)
ἀμφί σε, σοὶ δὲ τὰ πάντα προσεύχεται· εἰς σὲ δὲ πάντα,
around you to-you and the all(-things) pray to you and all(-things)
σύνθεμα σὸν νοέοντα, λαλεῖ σιγώμενον ὕμνον.
(the)-sign your perceiving speak (a)-silenced hymn
Σοὶ ἕνι πάντα μένει· σὺ δ' ἀθρόα πάντα θεάζεις 10
You in all(-things) remain you and together all(-things) make-divine
καὶ πάντων τέλος ἐσσί, καὶ εἷς καὶ πάντα καὶ οὐδείς,
and of-all (the)-end you-are and one and all and none

οὐχ ἓν ἐών, οὐ πάντα· πανώνυμε, πῶς σε καλέσσω,
not one being not all all-named(-one) how you shall-I-call
τὸν μόνον ἀκλήϊστον, ὑπερνεφέας δὲ καλύπτρας
the only unnamable above-the-clouds and veils
τίς νόος οὐρανίδης εἰσδύσεται; ἵλαος εἴης·
what mind heavenly will-enter merciful may-you-be
ὦ πάντων ἐπέκεινα, τί γὰρ θέμις ἄλλο σε μέλπειν;
O of-all beyond(-one) what for (is)-right other(-than-this) you to-sing

Χριστὲ ἄναξ

III · A HYMN TO CHRIST AFTER THE EASTER SILENCE

Gregory breaks a long silence at Easter and offers Christ his first words as a priest's pure sacrifice. He praises the Word, image of the Father and light from light, by whom the sun, the moon, the zodiac, and the stars keep their courses, and whom the minds of heaven and mortal man sing. He gives his life, tongue, and speech to Christ. Today Christ has risen, broken the gates of Hades, and freed the souls; the angels rejoice, and Gregory has loosed his lips to be his lyre.

Χριστὲ ἄναξ, σὲ πρῶτον, ἐπεὶ λόγον ἠέρι δῶκα,
Christ king you first since (my)-word to-(the)-air I-gave
δηναιὸν κατέχων, φθέγξομ' ἀπὸ στομάτων,
long holding(-it) I-will-utter from (my)-mouth
ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος, εἰ θέμις εἰπεῖν,
of-(the)-most-pure priest (a)-pure sacrifice if (it-be)-right to-say
τόνδε λόγον προχέων ἡμετέροιο νόου.
this word pouring-forth of-our mind
Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
Shining-from-the-Father of-(the)-great mind word better than-speech
φωτός τ' ἀκροτάτου φῶς ἄκρον, οἰογόνε,
of-light and highest light highest only-begotten

εἰκὼν ἀθανάτοιο πατρός, καὶ σφρηγὶς ἀνάρχου,
image of-(the)-immortal father and seal of-(the)-beginningless
πνεύματι τῷ μεγάλῳ συμφαές, εὐρυμέδον,
with-spirit the great equally-shining wide-ruling
αἰῶνος πείρημα, μεγακλέες, ὀλβιόδωρε,
of-(the)-age (the)-bound great-glorious bliss-giving
ὑψίθρον᾽, οὐράνιε, πανσθενὲς ἆσθμα νόου,
high-throned heavenly all-powerful breath of-(the)-mind
νωμητὰ κόσμοιο, φερέσβιε, δημιοεργὲ
governor of-(the)-world life-bearing creator
ὄντων, ἐσσομένων· σοὶ γὰρ ἅπαντα πέλει,
of-things-that-are of-things-to-be in-you for all(-things) are
ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἐστί, θέλοντος
who of-(the)-world (the)-foundations and whatever is (you)-willing
δησάμενος φορέεις νεύμασιν ἀπλανέως.
having-bound carry with-nods unerringly
Σοὶ μέν, ἄναξ, Φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
For-you indeed king Phaethon high-running (the)-stars hides
κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας.
(his)-circle rising-above fiery as you thought
σοὶ ζώει φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτός,
for-you lives wastes and in-turn eye the of-night
μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
(the)-moon full-shining again coming-on
σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης
for-you and life-bearing both circle and measures of-dance
ὥραις μέτρα φέρει ἤπια κιρναμέναις.
to-(the)-seasons measures brings gently mingled

ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
fixed both wandering and backward darting
ἀστέρες ἠγαθέης εἰσὶ λόγος σοφίης.
stars of-holy are (the)-word wisdom
Σὸν φάος εἰσὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
Your light are all as-many-as minds heavenly
μέλπουσιν τριάδος δόξαν ἐπουρανίης.
sing of-(the)-trinity (the)-glory heavenly
σὸν βροτὸς αὖ κλέος ἐστίν, ὃν ἄγγελον ἐνθάδ' ἔθηκας
your mortal again glory is whom (an)-angel here you-set
ὑμνοπόλον τῆς σῆς, ὦ φάος, ἀγλαΐης.
hymn-singer of-the your O light splendor
Ἄμβροτέ μοι, βρότεέ τε παλιγγενές, ὕψος ἄσαρκον,
Immortal to-me mortal and reborn height fleshless
ὑστάτιον θνητῶν πήμασι σαρκοφόρε,
last of-mortals for-(the)-woes flesh-bearing
σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ' ἔμπνοος εἰμὶ θυηλή,
for-you I-live for-you I-speak for-you and breathing I-am (a)-sacrifice
ἣ μούνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων·
which alone of-possessions remains from our(-things)
σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ οὔασι μῦθον ἔλυσα·
for-you both (the)-tongue I-bound and for-(the)-ears (the)-word I-loosed
λίσσομαι, ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
I-pray but may-you-grant both holily
Φθέγξομαι, ὅσσ' ἐπέοικεν· ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
I-will-utter what befits what but not right not-even I-will-think
ῥεύσω μαργάρεον, βόρβορον ὠσάμενος.
I-will-draw-off pearly mire having-thrust-away
χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ' ἀκάνθης,
gold from sand (a)-rose rough from thorn

λέξομ᾽ ἀπ᾽ ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
I-will-gather from ears grain having-let-go (the)-straw
Ταῦτά σοι ἡμετέροιο θαλύσια, Χριστέ, πόνοιο
These to-you of-our harvest-offerings Christ toil
γλῶσσ᾽ ἀπερευγομένη πρῶτον ἀνῆψεν ἔπος.
(the)-tongue disgorging first lit (a)-word
Σήμερον ἐκ νεκύων Χριστὸς μέγας, οἷσιν ἐμίχθη,
Today from (the)-dead Christ (the)-great with-whom he-mingled
ἔγρετο καὶ θανάτου κέντρον ἀπεσκέδασε, 40
woke and of-death (the)-sting scattered
καὶ ζοφεροὺς πυλεῶνας ἀμειδήτου Ἄϊδαο
and gloomy gates of-joyless Hades
ῥήξατο καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.
burst and to-souls gave freedom
σήμερον ἐκ τύμβοιο θορὼν μερόπεσσι φαάνθη,
today from (the)-tomb having-leapt to-mortals appeared
οἷς γένεθ᾽, οἷσι θάνεν, οἷς ἔγρετ᾽ ἐκ νεκύων,
for-whom he-was-born for-whom died for-whom woke from (the)-dead
ὥς κε παλιγγενέες τε καὶ ἐκ θανάτοιο φυγόντες 45
that — reborn both and from death having-fled
σοὶ συναειρώμεσθ᾽ ἔνθεν ἀνερχομένῳ.
with-you we-may-be-raised thence going-up
σήμερον αἰγλήεις σε μέγας χορὸς ἀμφιγέγηθεν
today radiant you (the)-great choir rejoices-around
ἀγγελικός, μέλπων ὕμνον ἐπιστέφιον.
angelic singing (a)-hymn crowning

σήμερον ἦχον ἔπνευσα μεμυκότα χείλεα σιγῇ
today (a)-sound I-breathed closed lips by-silence
λύσας, ἀλλὰ μ᾽ ἔχεις ὑμνοπόλον κιθάρην.
having-loosed but me you-have (as)-hymn-singing lyre
Νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον· αὐτὰρ ἔπειτα
With-mind mind within I-offered with-word word but then
ῥέξω καὶ μεγάλῳ πνεύματι, ἢν ἐθέλῃ.
I-will-offer also with-(the)-great spirit if he-wills

Τί σοι θέλεις γενέσθαι

IV · TO HIS OWN SOUL

Gregory asks his soul what it wants. He asks whether it wants the treasures of Gyges and Midas, stones, lands, and herds, thrones, marriage and children, fame in speeches and lawsuits, war and the crowns of contests, refuses them, and dismisses each as a shadow, a breeze, or a passing noise. The soul's true wish is to become a god, an attendant of God dancing with the angels. He tells the body it shall have a stone house, a hide for clothing, bread, salt, thyme, and water, no luxuries; the wise man seeks the tree of life, the knowledge of the one triple-shining light.

Τί σοι θέλεις γενέσθαι;
What for-you do-you-wish to-become
ψυχὴν ἐμὴν ἐρωτῶ.
soul my I-ask
τί σοι μέγ᾽ ἢ τί μικρὸν
what for-you great or what small
τῶν τιμίων βροτοῖσι;
of-the(-things) prized by-mortals
ζήτει μόνον τι λαμπρόν,
seek only something splendid

καὶ δώσομεν προθύμως.
and we-will-give eagerly
Θέλεις τὰ Γύγεώ σοι
Do-you-wish the(-things) of-Gyges for-you
τοῦ Λυδίου γενέσθαι;
the Lydian to-become
καὶ δακτύλῳ τυραννεῖν,
and with-(a)-finger to-be-tyrant
τὴν σφενδόνην ἑλίσσων,
the bezel turning
κρύπτουσαν, εἰ κρύπτοιτο,
hiding if it-were-hidden
φαίνουσαν, εἰ φαίνοιτο;
showing if it-were-shown
Θέλεις τὰ Μίδεώ σοι
Do-you-wish the(-things) of-Midas for-you
τοῦ πλουσίως θανόντος;
the(-one) richly having-died
ᾧ χρυσὸς ἦν τὰ πάντα,
for-whom gold was the all(-things)
χρυσοῦν φέροντα λιμόν,
golden bearing famine
εὐχῆς δίκην ἀμέτρου.
of-(a)-prayer in-the-manner immoderate
Θέλεις λίθους διαυγεῖς,
Do-you-wish stones translucent
πλάτη τε γῆς λιπώσης,
breadths and of-earth fat

καὶ ποιμνίων ἀριθμοὺς
and of-flocks numbers
βοῶν τε καὶ καμήλων;
of-oxen both and of-camels
Οὐ ταῦτα δώσομέν σοι·
Not these we-will-give you
λαβεῖν γὰρ οὐδὲ κρεῖσσον·
to-take for not-even (is)-better
ἀλλ᾽ οὐδ᾽ ἔμοιγ᾽ ἀνυστόν.
but not-even for-me-at-least achievable
ἔρριψα γὰρ μερίμνας,
I-cast-away for cares
ἀφ᾽ οὗ θεῷ προσῆλθον.
from when to-God I-came
Θέλεις θρόνους τε κἀρχάς,
Do-you-wish thrones both and-offices
καιροῦ φρύαγμα πῖπτον;
of-(the)-moment (the)-insolence falling
ἵν᾽ αὔριον καθεσθῇς
that tomorrow you-may-sit
κάτω βλέπων ταπεινόν,
below looking lowly
ἄλλου τραχηλιῶντος,
another holding-the-neck-high
ὃς ἦν παραστάτης σοι
who was attendant to-you
τυχὸν δὲ καὶ κακῶν τις.
perhaps and even of-evil(-men) one
Θέλεις γάμῳ δεθῆναι,
Do-you-wish by-marriage to-be-bound

βλακεύμασιν ἀνάγνοις,
by-follies impure
καιροῖς τε συστραφῆναι;
by-occasions and to-be-twisted-together
θέλεις νόσον γλυκεῖαν,
do-you-wish (a)-sickness sweet
εὐτεκνίας μέριμναν;
of-fair-offspring (the)-care
εὐτεκνίαν δ' ἂν εἴπω
fair-offspring and if I-should-say
δυστεκνίαν, τί φήσεις;
bad-offspring what will-you-say
Θέλεις λόγοις βοᾶσθαι,
Do-you-wish with-speeches to-be-acclaimed
καὶ συλλέγειν θέατρα;
and to-gather theaters
ποθεῖς νόμους ταράσσειν
do-you-long laws to-confound
οὐκ ἐνδίκοις παλαισμοῖς;
not with-just wrestlings
φέρειν τε καὶ φέρεσθαι
to-plunder both and to-be-plundered
πρὸ βημάτων ἀθέσμων;
before tribunals lawless
Αἰχμὴν θέλεις τινάσσειν,
(A)-spear do-you-wish to-brandish
πνέων ἀρηΐϊόν τι;
breathing warlike something

καὶ στέμματ᾽ ἐξ ἀγώνων
and crowns from contests
θηροκτόνον τε κάρτος;
beast-slaying and might
Ποθεῖς κρότους πολίχνης
Do-you-long-for (the)-plaudits of-(a)-little-town
καὶ χάλκεος τυποῦσθαι;
and in-bronze to-be-molded
Σκιὰν θέλεις ὀνείρων,
(A)-shadow do-you-wish of-dreams
μεταρρέουσαν αὔραν,
(a)-passing breeze
ῥοῖζον βέλους ἀνίχνου,
(the)-whir of-(an)-arrow trackless
ψόφον χειρὸς κροτούσης.
(the)-noise of-(a)-hand clapping
τί γὰρ μέγ᾽ εὖ φρονοῦσι
what for great well to-(those)-thinking
τῶν σήμερον μὲν ὄντων,
of-the(-things) today indeed being
ἐς αὔριον δ᾽ ἀπόντων,
by tomorrow but absent
ὧν καὶ κακοῖς μέτεστιν,
in-which even evil(-men) have-a-share
ὧν οὐ συνέρχεταί τι
of-which not goes-along anything
ἐντεῦθεν ἐξιοῦσι;
from-here with-(those)-going-out
Τί οὖν, ἐπεὶ τάδ᾽ οὐχί,
What then since these not

τί σοι θέλεις γενέσθαι;
what for-you do-you-wish to-become
θέλεις θεὸς γενέσθαι,
do-you-wish (a)-god to-become
θεὸς θεοῦ μεγίστου
(a)-god of-God greatest
παραστάτης φαεννός,
(an)-attendant shining
σὺν ἀγγέλοις χορεύων;
with angels dancing
Ἴθι, πρόβαινε ταρσοῖς
Go go-forward with-(the)-pinions
ὀξυπτέρου μενοινῆς
of-swift-winged desire
κυκλουμένη πρὸς ὕψος.
circling toward (the)-height
ἐγὼ πτερὸν καθαίρω,
I (the)-wing cleanse
ἐγὼ λόγοις ἐπαίρω,
I with-words lift
ὡς εὔπτερόν τιν᾽ ὄρνιν
as well-winged some bird
ἐς αἰθέρα προπέμψω.
to (the)-ether I-will-send-forth
Σὺ δ᾽ εἰπέ μοι, κάκιστον
You but tell me most-evil
ὦ σαρκίον δυσώδες,
O little-flesh foul-smelling
ἐπεὶ συνεζύγην σοι,
since I-was-yoked to-you

ἡ δεσπότις μαγείρῳ,
the mistress to-(a)-cook
τί σοι θέλεις γενέσθαι
what for-you do-you-wish to-become
πρὸς τὸ πνοῇ κρατεῖσθαι;
for the by-breath to-be-held
οὐ γὰρ πλέον χρεωστῶ,
not for more I-owe
κἂν πόλλ᾽ ἔχειν βιάζῃ.
even-if much to-have you-force(-me)
Θέλεις τράπεζαν εὔπνουν
Do-you-wish (a)-table sweet-smelling
μύρων τε καὶ μαγείρων
of-perfumes both and of-cooks
σοφίσμασιν περισσοῖς;
with-devices excessive
καὶ βαρβίτων χερῶν τε
and of-lyres of-hands and
κροτήματ᾽ οὐκ ἄνοιστρα,
clappings not without-frenzy
ἁβρῶν κλάσεις τε παίδων
of-delicate bendings and of-boys
κινουμένων ἀνάνδρως,
moving unmanly
καὶ παρθένων ἑλιγμοὺς
and of-maidens whirlings
γυμνουμένων ἀθέσμως;
stripped lawlessly

ἃ τοῖς πότοις τυποῦσιν
which at-the drinking-bouts they-shape
ὅσοι φιλοῦσιν ὕβριν,
as-many-as love insolence
τὸν μαινόλην ἑτοίμως
the frenzied readily
ὑποφλέγοντες οἶνον.
kindling-under wine
Ταῦτ᾽ εἰ θέλεις παρ᾽ ἡμῶν,
These if you-wish from us
ἔχοις μέν, ἀγχόνην δέ.
may-you-have indeed (a)-noose but
τοιαῦτα τοῖς ἀπλήστοις
such(-things) to-the insatiable
ἐγὼ φίλοις πορίζω·
I to-friends provide
οἰκός σε πέτρινός τις
(a)-house you of-stone some
αὐτώροφος καλύπτοι,
self-roofed may-cover
ἢ μικρὸν ἔργον ὥρας,
or (a)-small work of-(an)-hour
εἰ δεῖ τι καὶ πονῆσαι·
if it-must something also toil
τὸ δ᾽ ἔσθος ἢ καμήλων
the and clothing or of-camels
τρίχες νόμῳ δικαίων,
hairs by-(the)-custom of-(the)-just

ἢ καὶ δέρος, παλαιᾶς
or even (a)-hide of-old
γυμνώσεως κάλυμμα.
nakedness (a)-covering
στιβὰς μὲν ἡ τυχοῦσα,
(the)-bed indeed the chance(-one)
πόαι, κλάδοι τετάσθων
grasses branches let-be-spread
ἅπλωμα πορφυροῦν τι
(a)-spread purple some
καὶ συμπόταις ἀταρβές·
and to-drinking-companions fearless
τράπεζα δ' αὐτόθεν σοι
(the)-table and from-there for-you
γλυκὺ πνέουσ' ἀνείσθω,
sweet breathing let-be-set-out
ἃ γῆ φίλη δίδωσιν
what earth (the)-dear gives
ἄτεχνα δῶρα πᾶσιν.
artless gifts to-all
Ἐπεὶ δ' ἐθήκαμέν σε,
Since and we-have-set you
καὶ θρέψομεν προθύμως.
and we-will-feed eagerly
θέλεις φαγεῖν, ἔχ' ἄρτον,
do-you-wish to-eat have bread
ἔχ' ἄλφιτ', εἰ παρείη·
have barley if it-be-at-hand
ἅλες δέ σοι τὸ πέμμα,
salt and for-you the cake

θύμόν θ' ὃν οὐ μετροῦμεν
thyme and which not we-measure
ἀπραγμάτευτον ὄψον·
unbought relish
ἔνδεια δ' ἄλλο μεῖζον.
want and other greater
θέλεις πιεῖν; βρύει σοι
do-you-wish to-drink gushes for-you
ὕδωρ, κρατὴρ ἀείρρους,
water (a)-bowl ever-flowing
ποτὸν μέθης ἄποιον,
(a)-drink of-drunkenness free
ἀκλήματον γάνυσμα.
vineless gladness
ζητεῖς δὲ καὶ τρυφᾶν τι,
you-seek and even to-luxuriate something
μηδ' ὀξίνης φθονείσθω.
nor sour-wine let-be-grudged
Ἀλλ' οὐ τάδ' ἀρκέσει σοι,
But not these will-suffice you
τετρημένῳ ποθεῖς δὲ
into-(a)-pierced you-long and
πίθῳ κακῶς ἐπαντλεῖν
jar evilly to-pour
τὰς ἡδονὰς ἀπλήστως.
the pleasures insatiably
ἄλλον πόθει πoριστήν·
another long-for provider

ἐμοὶ γὰρ οὐ σχολή σε
for-me for not (is)-leisure you
θάλπειν σύνοικον ἐχθρόν,
to-warm (a)-house-mate enemy
ἵν' ὡς ὄφις κρυμωθείς,
that like (a)-serpent frozen
θέρμῃ δ' ἔπειτα λυθεὶς
by-heat and then loosed
ἐγκόλπιός με τρώσῃς.
in-(my)-bosom me you-may-wound
Θέλεις δόμους ἀμέτρους,
Do-you-wish houses immeasurable
χρυσωρόφους γραφῆς τε
gold-roofed of-painting both
καὶ ψηφίδος σοφισμοὺς
and of-mosaic subtleties
κινουμένων σχεδόν τι,
moving almost somewhat
πλακός τε λάμψιν ἁβρᾶς
of-slab and (the)-gleam delicate
ἀντίχροον, πολύχρουν;
of-contrasting-color many-colored
θέλεις περιρρέουσαν
do-you-wish flowing-around
ἐσθῆτα τῶν ἀθίκτων,
(a)-garment of-the untouchable(-things)
ἐν δακτύλοις τε πλοῦτον,
on fingers and wealth

γελώμενόν τε κάλλος
laughed-at and beauty
τοῖς σωφρονεῖν μαθοῦσιν,
by-those to-be-chaste having-learned
ἐμοὶ δὲ καὶ μάλιστα,
by-me and also especially
ᾧ κάλλος ἐστὶν εἴσω;
for-whom beauty is within
Τοῖς μὲν κάτω δὴ ταῦτα,
To-those indeed below indeed these(-things)
ὑμῖν βροτοῖσι φάσκω,
to-you mortals I-say
οἳ ζῆτε τὸ πρὸς ὥραν,
who live the(-life) for (an)-hour
μηδὲν πλέον βλέποντες.
nothing more seeing
τοῖς δ' εὐγενῶς βιοῦσιν,
to-those but nobly living
ἐπαξίως τε μοίρας
worthily and of-(the)-lot
τῆς ἐκ θεοῦ δοθείσης
the(-one) from God given
τῷ πηλίνῳ πάχει μου,
to-the clayey thickness my
σκόπει πένητος ὄγκον,
consider of-(a)-pauper (the)-bulk
οἵαν τροφὴν χορηγῶ.
what food I-supply

Δίελθέ μοι φλογώδη
Pass-through for-me (the)-flaming
ῥομφαίαν, ὦ θεόφρον·
sword O God-minded(-one)
θείων γενοῦ γεωργὸς
of-divine become (a)-husbandman
φυτῶν, λόγων θαλλόντων,
plants of-words flourishing
ὧν μ' ἐστέρησεν ἐχθρός,
of-which me deprived (the)-enemy
δι' ἡδονῆς συλήσας.
through pleasure having-despoiled
ξύλῳ πάλιν πρόσελθε
to-(the)-tree again come
ζωῆς ἀεὶ μενούσης·
of-life ever remaining
ἡ δ' ἐστίν, ὡς ἀνεῦρον,
it and is as I-found
γνῶσις θεοῦ μεγίστου,
(the)-knowledge of-God greatest
φάους ἑνὸς τριλαμποῦς,
of-light one three-shining
πρὸς ὃν τὰ πάντα τείνει.
toward whom the all(-things) tend
Οὕτω μὲν αὐτὸς αὐτῷ
Thus indeed himself to-himself
πᾶς τις σοφῶν λαλήσει,
every one of-the-wise will-speak
ὃς δ' οὐ θέλει λαλῆσαι,
who but not wishes to-speak

μάτην βίον παρῆλθεν·
in-vain (his)-life passed-by
εἴπερ μάτην παρῆλθε, 180
if-indeed in-vain passed-by
μὴ σὺν κακῷ μεγίστῳ.
not with evil greatest

Ὄρθριος δίδωμι τῷ θεῷ μου δεξιάς

v · A MORNING PRAYER

At dawn Gregory pledges to God that he will do and approve nothing dark, and will offer him the whole day unshaken and master of his passions. He would be ashamed of his gray hair and of the altar he serves if he failed. He asks Christ to prosper the resolve.

Ὄρθριος δίδωμι τῷ θεῷ μου δεξιάς,
At-dawn I-give — to-God my right-hands
μηδὲν σκοτῶδες ἢ δράσειν ἢ αἰνέσειν,
nothing dark either to-do or to-approve
ἀλλ᾽ ὡς μάλιστά σοι θύσειν τὴν ἡμέραν,
but as most to-you to-sacrifice the day
μένων ἄσειστος καὶ παθῶν αὐτοκράτωρ·
remaining unshaken and of-passions sole-master
αἰσχύνομαι τὸ γῆρας, ἂν κάκιστος ὦ, 5
I-am-ashamed-of the old-age if most-evil I-be
καὶ τὴν τράπεζαν, ἧς παραστάτης ἐγώ.
and the table of-which attendant I(-am)
Ὁρμὴ μὲν αὕτη, Χριστέ μου, σὺ δ᾽ εὐόδου.
(The)-impulse indeed (is)-this Christ my you and prosper(-it)

Ἐψευσάμην σε τὴν ἀλήθειαν, λόγε

VI · AN EVENING CONFESSION

At nightfall Gregory confesses that he has lied to the Word, Truth itself: he had vowed the day to him, but the night has not received him wholly in light. He prayed and meant it, yet his feet stumbled, for an envious gloom came against his salvation. He asks Christ to shine on him again.

Ἐψευσάμην σε τὴν ἀλήθειαν, λόγε,
I-lied-to you the truth word
σοὶ τὴν παροῦσαν ἡμέραν καθαγνίσας.
to-you the present day having-hallowed
Οὐ πάντα φωτεινόν με νὺξ ἐδέξατο·
Not all luminous me night received
ἦ μὴν προσηυξάμην τε καὶ τοῦτ᾽ ᾠόμην,
truly indeed I-prayed both and this I-thought
ἀλλ᾽ ἔστιν οὗ μοι καὶ προσέπταισαν πόδες·
but there-is where for-me even stumbled (my)-feet
ζόφος γὰρ ἦλθε βάσκανος σωτηρίας.
gloom for came envious of-salvation
Λάμποις τὸ φῶς μοι, Χριστέ, καὶ πάλιν φανείς.
May-you-make-shine the light for-me Christ and again having-appeared

Σὲ καὶ νῦν εὐλογοῦμεν

VII · AN EVENING HYMN

Gregory blesses Christ, the Word of God, light from beginningless light and giver of the Spirit, the threefold light gathered into one glory. Christ loosed the darkness, made light, set unstable matter into an ordered world, lit man's mind with reason as an image of the light above, and adorned heaven with stars. He ordered night and day to yield to each other in brotherly love, night to rest the toiling flesh and day to rouse it to the work he loves.

Σὲ καὶ νῦν εὐλογοῦμεν,
You even now we-bless
Χριστέ μου, λόγε θεοῦ,
Christ my word of-God
φῶς ἐκ φωτὸς ἀνάρχου,
light from light beginningless
καὶ πνεύματος ταμία,
and of-(the)-spirit dispenser
τριττοῦ φωτὸς εἰς μίαν
of-threefold light into one
δόξαν ἀθροιζομένου·
glory gathered
ὃς ἔλυσας τὸ σκότος,
who loosed the darkness
ὃς ὑπέστησας τὸ φῶς,
who established the light

ἵν᾽ ἐν φωτὶ τὰ πάντα
that in light the all(-things)
καὶ τὴν ἄστατον ὕλην
and the unstable matter
στήσῃς, μορφῶν εἰς κόσμον
you-might-set of-forms into (an)-order
καὶ τὴν νῦν εὐκοσμίαν·
and the present good-order
ὃς νοῦν ἐφώτισας ἀνθρώπου
who (the)-mind enlightened of-man
λόγῳ τε καὶ σοφίᾳ
with-reason both and wisdom
λαμπρότητος τῆς ἄνω
of-(the)-brightness of-the above
καὶ κάτω θεὶς εἰκόνα,
also below having-set (an)-image
ἵνα φωτὶ βλέπῃ φῶς
that by-light it-may-see light
καὶ γένηται φῶς ὅλον.
and may-become light wholly
σὺ οὐρανὸν φωστῆρσιν
you heaven with-luminaries
κατηύγασας ποικίλοις·
lit-up varied

σὺ νύκτα καὶ ἡμέραν
you night and day
ἀλλήλαις εἴκειν πράως
to-one-another to-yield gently
ἔταξας, νόμον τιμῶν
appointed (a)-law honoring
ἀδελφικῆς φιλίας·
of-brotherly friendship
τῇ μὲν ἔπαυσας κόπους
with-the(-one) indeed you-stopped (the)-toils
τῆς πολυμόχθου σαρκός,
of-the much-laboring flesh
τῇ δ’ ἤγειρας εἰς ἔργον
with-the(-other) and you-roused to work
καὶ πράξεις τάς σοι φίλας.
and deeds the(-ones) to-you dear

Παρθένε, νύμφη Χριστοῦ

VIII · COUNSEL TO A VIRGIN

Gregory tells a virgin, the bride of Christ, to glorify her bridegroom and keep herself pure, for her union is better than corruptible marriage. In the body she imitates the angels; marriage is honorable, the root even of the virgin who bore God, but it serves the flesh, and with Christ's coming chastity shone out. He warns her not to look back to Sodom, nor to fear nature too much or trust herself too far, and gives her remedies: the fear of God, fasting, vigils, prayers, and tears. She is to keep her eyes and tongue chaste, prefer a plain robe to pearls, and shun men's company, for marriage brings failed births, jealousy, and thankless children, while her one care is God. Let her trust him, who fed Elijah in the desert and brought Thecla and Paul through fire, beasts, hunger, and cold. Beauty and wealth pass; let the virgins keep their lamps lit for the bridegroom.

Παρθένε, νύμφη Χριστοῦ,
Virgin bride of-Christ

δόξαζέ σου τὸν νυμφίον·
glorify your the bridegroom

ἀεὶ κάθαιρε σαυτὴν
always cleanse yourself

ἐν λόγῳ καὶ σοφίᾳ,
in word and wisdom

ἵνα λαμπρὰ τῷ λαμπρῷ
that bright with-the bright(-one)

συζήσῃς τὸν αἰῶνα·
you-may-live-with(-him) the age

κρείσσων γὰρ αὕτη πολλῷ
better for this(-union) by-much

τῆς φθαρτῆς συζυγίας.
than-the corruptible yoking

Ἐν σώματι τὰς νοερὰς
In (the)-body the intellective
δυνάμεις ἐμιμήσω,
powers you-imitated
ἀγγελικὴν μετῆλθες
angelic you-pursued
ἐπὶ γῆς πολιτείαν.
on earth way-of-life
Δεσμὸς ἐνταῦθα καὶ λύσις
Binding here and loosing
καὶ σώματ' ἐκ σωμάτων·
and bodies from bodies
ἄνω δ' ἑκάστη μονὰς
above but each unity
οὔποτε λυομένη,
never being-loosed
οἳ πρῶτοι φέρουσ' ἀκτῖνα
who first bear (the)-ray
τῆς καθαρᾶς οὐσίας,
of-the pure essence
πνεῦμα καὶ πῦρ, λειτουργοὶ
spirit and fire ministers
τῶν θεοῦ προσταγμάτων.
of-the of-God commands
ὕλη δὲ μῖξιν ἐξεῦρεν
matter but mingling found
ἀεὶ ῥέουσα φύσις,
ever flowing nature
ᾗ μέτρον ὥρισε θεός,
for-which (a)-measure set God

γάμον νομοθετήσας·
marriage having-legislated

σὺ δ' ἔργον ὕλης φυγοῦσα
you but (the)-work of-matter having-fled

τοῖς ἄνω συνηρμόσθης,
to-those above you-were-joined

ὡς νοῦς ἁρμόζεται νοΐ
as mind is-joined to-mind

τὴν θείαν ἁρμονίαν·
the divine harmony

καὶ σαρκὶ πολεμοῦσα
and with-(the)-flesh warring

βοηθεῖς τῇ εἰκόνι·
you-help the image

πνοὴ γὰρ ἔφυς θεοῦ
breath for you-are of-God

τῷ χείρονι συνδεθεῖσα,
to-the worse bound-together

ἵν' ἐκ πάλης καὶ νίκης
that from wrestling and victory

τὸ στέφος ἀπολάβῃς,
the crown you-may-receive

ἄνω θεῖσα καὶ τὸν χοῦν
above having-set even the dust

καλῶς ὑποταγέντα.
well subjected

Αἰνείσθω σοι καὶ γάμος,
Let-be-praised by-you also marriage

πρὸ γάμου δ' ἀφθορία·
before marriage but incorruption

γάμος συγγνώμη πάθους,
marriage (a)-pardon of-passion
ἁγνεία δὲ λαμπρότης·
chastity but brightness
γάμος πατὴρ ἁγίων,
marriage father of-saints
ἁγνεία δὲ θυσία.
chastity but sacrifice
Ταύτην καὶ τότε καιροῖς
This(-virtue) even then at-times
ἐτίμων τοῖς εὐθέτοις,
they-honored at-the fitting
Ἀδὰμ ἐν παραδείσῳ,
Adam in paradise
Μωσῆς ἐν ὄρει Σίνα,
Moses on (the)-mountain Sinai
λειτουργῶν Ζαχαρίας
ministering Zachariah
ὁ πατὴρ τοῦ προδρόμου.
the father of-the forerunner
Γάμος καὶ παρθενίας
Marriage also of-virginity
ῥίζα τῆς θεοῦ νύμφης,
(the)-root of-the of-God bride
ἀλλ' ἔστιν ὅμως σαρκὸς
but it-is nevertheless of-flesh
καὶ βράσματος δουλεία.
and of-ferment (a)-slavery

Ὅτ᾽ ἦν νόμος καὶ σκιαὶ
When there-was (the)-law and shadows
καὶ πρόσκαιροι λατρεῖαι,
and temporary worships
τότ᾽ εἶχε πρῶτα καὶ γάμος,
then had first(-place) also marriage
ὡς ἔτι νηπιώδης.
as still childish
Ὅτε δ᾽ ὑπεξῆλθε τὸ γράμμα,
When but went-out the letter
τὸ πνεῦμ᾽ ἀντεισήχθη,
the spirit was-brought-in-instead
30 καὶ Χριστὸς ἔπαθε σαρκὶ
and Christ suffered in-flesh
προελθὼν ἐκ παρθένου,
having-come-forth from (a)-virgin
τότ᾽ ἐξέλαμψεν ἁγνεία
then shone-forth chastity
συντέμνουσα τὸν κόσμον,
cutting-short the world
ὃν ἐκεῖ δεῖ μεταβῆναι
which there must pass-over
Χριστῷ συνανελθόντα.
with-Christ going-up
Καλῶς ὁδεύεις, παρθένε,
Well you-travel virgin
εἰς ὄρος ἀποσώζου·
to (the)-mountain save-yourself
μὴ πρὸς Σόδομα βλέψῃς,
not to Sodom look

μὴ στήλῃ παγῇς ἁλός·
not as-(a)-pillar be-fixed of-salt
μήτε λίαν σε σαρκὸς
neither too-much you of-flesh
ἐκφοβείτω ἡ φύσις,
let-terrify the nature
μήτε θαρρήσῃς ἄγαν,
nor be-confident excessively
ὥστε ποτ' ἐκλυθῆναι.
so-as ever to-be-relaxed
Σπινθὴρ ἀνάπτει καλάμην,
(A)-spark kindles straw
σβεννύει δ' ὕδωρ φλόγα.
quenches and water flame
Ἔχεις φάρμακα πολλὰ
You-have remedies many
τῆς σεμνῆς παρθενείας·
of-the august virginity
θεοῦ σε φόβος πηγνύτω,
of-God you fear let-fix
νηστεία σε κενούτω,
fasting you let-empty
ἀγρυπνία, προσευχαί,
vigil prayers
δάκρυα, χαμευνία,
tears sleeping-on-the-ground
ἔρως ὅλος πρὸς θεὸν
love whole toward God
γνησίως τεταμένος,
genuinely stretched

πάντα κοιμίζων πόθον
all lulling longing
ἀλλότριον τῶν ἄνω.
foreign to-the(-things) above
Ὁ πίπτων ἐγειρέσθω,
The(-one) falling let-him-be-raised
ὁ ναναγῶν ἐλεείσθω·
the(-one) shipwrecked let-him-be-pitied
σὺ δ' εὐπλόει τὸ ἱστίον
you but sail-well the sail
πετάσασα τῆς ἐλπίδος·
having-spread of-the hope
45 οὐ τῶν κάτω τὸ πίπτειν,
not of-those below the to-fall
τῶν δ' ἄνω φερομένων.
of-those but above being-borne
Ὀλίγοι πτερορρυοῦσιν,
Few lose-their-wings
οἱ πλεῖστοι δ' εὐδρομοῦσιν·
the most but run-well
ἔπεσεν Ἑωσφόρος,
fell (the)-Morning-star
ἀλλ' οὐρανὸς ἀγγέλων.
but (a)-heaven of-angels
Ἰούδας ἦν προδότης,
Judas was (a)-traitor
οἱ δ' ἕνδεκα λαμπτῆρες.
the but eleven lamps

Μόνον ὅλως σεαυτὴν
Only wholly yourself
ἁγνὴν τήρει, παρθένε,
pure keep virgin
μή πως σπιλώσῃς Χριστοῦ
not perhaps you-stain of-Christ
τὸν ἄσπιλον χιτῶνα.
the spotless tunic
Ὅμμα σοι σωφρονείτω,
(The)-eye for-you let-be-chaste
γλῶσσα παρθενευέτω·
(the)-tongue let-be-virgin
μὴ νοῦς πορνεύῃ, μὴ γέλως,
not (the)-mind fornicate not (the)-laughter
μὴ ποὺς ἄτακτα βαίνων.
not (the)-foot disorderly walking
Τὴν πιναρὰν στολήν σου,
The squalid robe your
καὶ τὴν αὐχμηρὰν κόμην
and the unkempt hair
μᾶλλον αἰδοῦμαι μαργάρων
more I-revere than-pearls
καὶ τῆς Σηρῶν εὐκοσμίας.
and than-the of-(the)-Seres finery
Καλὸν ἄνθος ἡ αἰδὼς
Fair flower (is)-the modesty
καὶ μέγας κόσμος ὠχρότης·
and great adornment pallor

καὶ πλέγμα καλὸν ἀρεταὶ
and (a)-braid fair (are)-virtues
πᾶσαί σε στεφανοῦσαι.
all you crowning
Ἄλλη χρώμασιν εἰκόνα
Another with-colors (the)-image
τὴν θεοῦ νοθευέτω,
the of-God let-her-adulterate
πίναξ ἔμψυχος αἰσχρῶν
(a)-panel living of-shameful(-things)
κατήγορος τῶν ἔνδον·
accuser of-the(-things) within
σὺ δ' ἧς ἔχεις εὐμορφίας
you but of-what you-have of-comeliness
νεκρούσθω σοι τὸ πλεῖστον·
let-be-deadened for-you the most
κάλλος δὲ λάμπρυνε ψυχῆς
(the)-beauty but brighten of-(the)-soul
ἐκ θεοῦ κοσμουμένης.
by God adorned
Ὄψιν δ' ἀρρένων φεῦγε,
(The)-sight and of-males flee
εἰ θέμις, καὶ σωφρόνων,
if (it-be)-right even of-chaste(-ones)
μή που πλήξῃς, ἢ πληγῇς
not somehow you-strike or are-struck
ἐκ μώμου τοῦ Βελίου·
from (the)-reproach — of-Belial
ὄμματ' ὄμμασι μὴ δίδου,
eyes to-eyes not give

μὴ πλέκε λόγῳ λόγον·
not weave with-word word
μὴ παρειὰ παρειαῖς
not (the)-cheek to-cheeks
διδότω παρρησίαν·
let-give boldness
μηδέν σοι καὶ τῇ γεύσει
nothing for-you and to-the tasting
ξύλου τοῦ κατακρίτου,
of-(the)-tree the condemned
μή σε ξύλου τῆς ζωῆς
not you from-(the)-tree of-the life
ὁ ὄφις ἔξω βάλῃ.
the serpent out may-cast
Καὶ τοῦτο πείθου, παρθένε,
And this be-persuaded virgin
μὴ συνοίκει προστάτῃ,
not live-with (a)-protector
Χριστὸν ἔχουσα νυμφίον·
Christ having (as)-bridegroom
ζηλοῖ σου τὴν ἁγνείαν.
he-is-jealous-of your the purity
Τί μοι σάρκα φυγοῦσα
Why for-me flesh having-fled
πρὸς σάρκας ἐπιστρέφεις;
to fleshes do-you-turn
Οὐ πάντες ἄνδρες τὴν σὴν
Not all men the your
ἁπλότητα χωροῦσιν·
simplicity contain

ὡς ῥόδον ἐν ἀκάνθαις,
as (a)-rose among thorns
οὕτως ἐν πολλοῖς στρέφῃ·
so among many you-move
καὶ πονηρῶν ἐπάνω
and of-wicked over
παγίδων διαβαίνεις.
snares you-pass
Ὁ μὲν ἐγείρει παστάδας,
The(-one) indeed raises bridal-chambers
ἡ δ' ἐκκομίζει νυμφίον,
the(-other) but carries-out (her)-bridegroom
ἄλλος γίνεται πατήρ,
another becomes (a)-father
ἄλλος ἄπαις ἀθρόως·
another childless suddenly
ὅσον κακὸν ὠδῖνες
how-great (an)-evil (are)-pangs
ἀτέλεστοι πολλάκις;
unfulfilled often
ὅσον ζῆλος συζύγου,
how-great (the)-jealousy of-(a)-spouse
κλαπῆναι ποῦ φιλίαν;
to-be-stolen somewhere (the)-affection
ἐκθρέψαι δὲ καὶ παιδεῦσαι
to-rear and also to-educate
ἔπειτ' ἀτιμασθῆναι,
then to-be-dishonored

καὶ πικρὰς ἀντιλαβεῖν
and bitter to-receive

τῶν πόνων ἀντιδόσεις;
of-the toils requitals

σοὶ δὲ μέριμνα μία
for-you but (a)-care one

πρὸς θεὸν ἀεὶ βλέπειν.
toward God always to-look

Ἡ χρεία δ' ἔστω ὀλίγη μάζα
The need and let-be little barley-cake

καὶ μικρὰ σκέπη,
and small shelter

ἀφ' ἧς πεῖραν καὶ Χριστῷ
from which (a)-trial even to-Christ

προσήγαγεν ὁ πειράζων,
brought the tempter

λίθους αἰτῶν εἰς ἄρτους
stones asking into loaves

πεινῶντα μετατρέψαι·
hungering to-change

ὧν μή ποθ' ἕνεκα
of-which not ever for-the-sake

μηδὲν τῶν αἰσχρῶν ὑπομείνῃς.
nothing of-the shameful(-things) may-you-endure

Οὐ χείρων εἶ πετεινῶν
Not worse are-you than-birds

σχεδίως τρεφομένων·
offband fed

οὐκ ἐκλείψει σοι καμψάκης
not will-fail for-you (the)-cruse
ἐλαίου πιστευούσῃ·
of-oil believing
κόραξ σε θρέψει,
(a)-raven you will-feed
καθάπερ Ἠλίαν ἐν ἐρήμῳ.
just-as Elijah in (the)-desert
Οἶδας Θέκλαν ἐκ πυρὸς
You-know Thecla from fire
καὶ θηρίων φυγοῦσαν·
and beasts having-fled
Παῦλον πεινῶντα τὸν μέγαν
Paul hungering the great
καὶ ῥιγοῦντα προθύμως,
and freezing eagerly
ἵνα σὺ μάθῃς, παρθένε,
that you may-learn virgin
πρὸς θεὸν μόνον βλέπειν,
toward God alone to-look
ὃς ἐν ἐρήμῳ τρέφειν
who in (the)-desert to-feed
οἶδε καὶ μυριάδας.
knows even myriads
Μαραίνεται τὸ κάλλος,
Withers the beauty
ἡ δόξα παρατρέχει·
the glory runs-by
ὁ πλοῦτος ἄπιστον ῥεῦμα,
the wealth (an)-untrustworthy stream

τὸ δύνασθαι δ' ὀλίγον·
the to-have-power and little
σὺ δὲ τοῦ πλάνου κόσμου
you but of-the deceiving world
τὰς τρυφὰς ἐκφυγοῦσα
the luxuries having-escaped
εἰσῆλθες εἰς τὰ ἅγια
entered into the holy(-places)
τῶν ἁγίων γελῶσα,
of-the holies laughing
καὶ σὺν ἀγγέλοις χορεύσεις 95
and with angels you-will-dance
τὴν ἄπαυστον χορείαν,
the unceasing dance
κρείσσονα τόπον λαχοῦσα
(a)-better place having-obtained
υἱῶν καὶ θυγατέρων·
than-sons and daughters
ἀλλ', ὦ παρθένοι, Χριστὸν
but O virgins Christ
μένοιτε γρηγοροῦσαι,
may-you-remain watching
καὶ φαιδραῖς τὸν νυμφίον
and with-bright the bridegroom
δέχοισθε ταῖς λαμπάσιν,
may-you-receive the lamps

ἵνα συνεισελθοῦσαι
that having-entered-with(-him)

τὸ κάλλος τοῦ νυμφῶνος
the beauty of-the bridal-chamber

ἴδητε καὶ μιγῆτε
you-may-see and may-be-mingled

τοῖς ἄνω μυστηρίοις.
with-the above mysteries

SYNESIUS OF CYRENE

ΣΥΝΕΣΙΟΥ ΥΜΝΟΙ

Hymns

Ἄγε μοι, λίγεια φόρμιγξ

I · THE LYRE AND THE DIVINE SONG

Synesius bids his lyre leave the songs of Teos and Lesbos for a holier Dorian hymn. Others may prize strength, beauty, gold, or fame; he asks a quiet life, wisdom, and enough to keep want from his door. He sings the self-begotten source, the unity of unities, that poured itself out as a threefold strength, and the mind that came down into matter, fell into forgetfulness, and can rise again. Blessed is he who escapes the barking of matter and leaps toward God; Synesius bids his soul drink from the spring and rise, to dance as god in God.

Ἄγε μοι, λίγεια φόρμιγξ,
Come for-me clear-toned lyre
μετὰ Τηΐαν ἀοιδάν,
after (the)-Teian song
μετὰ Λεσβίαν τε μολπὰν
after (the)-Lesbian and strain
γεραρωτέροις ἐφ᾽ ὕμνοις
to-more-august upon hymns
κελάδει δώριον ᾠδάν,
sound (a)-Dorian ode
ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις
tender not for brides
ἀφροδίσιον γελώσαις,
lovingly laughing
θαλερῶν οὐδ᾽ ἐπὶ κούρων
of-blooming nor for youths
πολυηράτοισιν ἥβαις·
lovely (the)-primes

θεοκύμονος γὰρ ἁγνὰ
God-conceiving for (the)-pure
σοφίας ἄχραντος ὠδὶς
of-wisdom spotless travail
μέλος ἐς θεῖον ἐπείγει
(a)-song to divine urges
κιθάρας μίτους ἐρέσσειν,
of-(the)-lyre (the)-strings to-ply
μελιχρὰν δ' ἄνωγεν ἄταν
honeyed and bids (the)-folly
χθονίων φυγεῖν ἐρώτων.
of-earthly to-flee loves
τί γὰρ ἀλκά, τί δὲ κάλλος,
what for (is)-strength what and beauty
τί δὲ χρυσός, τί δὲ φάμα,
what and gold what and fame
βασιλήϊοί τε τιμαὶ
royal and honors
παρὰ τὰς θεοῦ μερίμνας;
beside the of-God cares
ὁ μὲν ἵππον εὖ διώκοι,
the(-one) indeed (a)-horse well may-drive
ὁ δὲ τόξον εὖ τιταίνοι,
the(-other) and (a)-bow well may-stretch
ὁ δὲ θημῶνα φυλάσσοι
the(-other) and (a)-heap may-guard
κτεάνων, χρύσειον ὄλβον·
of-possessions golden wealth

ἑτέρῳ δ’ ἄγαλμα χαίτη
for-another and (a)-delight (his)-hair
καταειμένη τενόντων,
hanging-down-over (his)-sinews
πολύυμνος δέ τις εἴη
much-hymned and some(-one) may-be
παρὰ κούροις, παρὰ κούραις
among youths among maidens
ἀμαρύγμασιν προσώπων·
for-(the)-flashings of-(his)-face
ἐμὲ δ’ ἀψόφητον εἴη
me but noiselessly may-it-be
βιοτὰν ἄσημον ἕλκειν,
(a)-life obscure to-draw
τὰ μὲν εἰς ἄλλους ἄσημον
the(-things) indeed toward others obscure
τὰ δὲ πρὸς θεὸν εἰδότα.
the(-things) but toward God knowing
σοφία δέ μοι παρείη
wisdom and to-me may-be-present
ἀγαθὰ μὲν νεότατα,
good indeed youth
ἀγαθὰ δὲ γῆρας ἕλκειν,
good and old-age to-draw
ἀγαθὰ δ’ ἄνασσα πλούτου·
good and queen of-wealth

πενίαν δ' ἄμοχθος οἴσει
poverty and untroubled will-bear
σοφία γελῶσα πικραῖς
wisdom laughing by-bitter
ἄβατον βίου μερίμναις.
untrodden of-life cares
μόνον εἰ τόσον παρείη,
only if so-much may-be-present
ὅσον ἄρκιον καλιῆς
as-much-as (is)-sufficient of-(my)-hut
ἀπὸ γειτόνων ἐρύκειν,
from neighbors to-keep
ἵνα μὴ χρεώ με κάμπτοι
that not need me may-bend
ἐπὶ φροντίδας μελαίνας.
to cares black
κλύε καὶ τέττιγος ὠδὰν
hear and of-(the)-cicada (the)-song
δρόσον ὀρθρίαν πιόντος.
dew morning having-drunk
Ἴδε μοι βοῶσι νευραὶ
See for-me cry (the)-strings
ἀκέλευστα, καί τις ὀμφὴ
unbidden and some voice
περί τ' ἀμφί τέ με ποτᾶται.
around both about and me flies
τί ποτ' ἆρα τέξεταί μοι
what ever is-it will-bear for-me
μέλος ἁ θέσκελος ὠδίς;
(as)-song the divine birth-pang

Ὁ μὲν αὐτόσσυτος ἀρχά,
The(-one) indeed self-sprung beginning
ταμίας πατήρ τ᾽ ἐόντων,
steward father and of-things-that-are
ἀλόχευτος ὑψιθώκων
unbegotten high-seated
ὑπὲρ οὐρανοῦ καρήνων
above heaven's heads
ἀλύτῳ κύδεϊ γαίων
in-indissoluble glory exulting
θεὸς ἔμπεδος θαάσσει,
God steadfast sits
ἑνοτήτων ἑνὰς ἁγνή,
of-unities unity pure
μονάδων μονάς τε πρώτη,
of-monads monad and first
ἁπλότητας ἀκροτήτων
(the)-simplicities of-summits
ἑνόωσα καὶ τεκοῦσα
uniting and having-borne
ὑπερουσίοις λοχείαις·
in-super-essential births
ὅθεν αὐτὴ προθοροῦσα
whence itself having-leapt-forth
διὰ πρωτόσπορον εἶδος
through first-sown form
μονὰς ἄρρητα χυθεῖσα
(the)-monad ineffably poured-out
τρικόρυμβον ἔσχεν ἀλκάν.
three-headed held strength

ὑπερούσιος δὲ παγὰ
super-essential and spring
στέφεται κάλλεϊ παίδων
is-crowned with-(the)-beauty of-children
ἀπὸ κέντρου τε θορόντων,
from (the)-center and having-leapt
περὶ κέντρον τε ῥυέντων.
around (the)-center and having-flowed
Μένε μοι θρασεῖα φόρμιγξ,
Stay for-me bold lyre
μένε, μηδὲ φαῖνε δήμοις
stay nor show to-(the)-peoples
τελετὰς ἀνοργιάστους.
rites unconsecrated
ἴθι καὶ τὰ νέρθε φώνει·
go and the(-things) below utter
τὰ δ' ἄνω σιγὰ καλύπτει,
the(-things) but above silence covers
ὁ δὲ νοῦς οἴοισιν ἤδη
the and mind with-alone already
μέλεται νοεροῖσι κόσμοις·
is-concerned intellective worlds
ἀγαθὰ γὰρ ἔνθεν ἤδη
good(-things) for thence already
βροτέου πνεύματος ἀρχὰ
of-mortal spirit (the)-beginning
ἀμερίστως ἐμερίσθη,
undividedly was-divided

ὁ καταιβάτας ἐς ὕλαν
the(-one) descending into matter
νόος ἄφθιτος, τοκήων
mind imperishable of-(the)-parents
θεοκοιράνων ἀπορρώξ,
of-God-rulers (a)-fragment
ὀλίγα μέν, ἀλλ᾽ ἐκείνων.
little indeed but of-those
ὅλος οὗτος εἷς τε πάντῃ,
whole this(-one) one and everywhere
ὅλος εἰς ὅλον δεδυκώς,
whole into whole having-entered
κύτος οὐρανῶν ἑλίσσει·
(the)-vault of-heavens whirls
τὸ δ᾽ ὅλον τοῦτο φυλάσσων
the and whole this guarding
νενεμημέναισι μορφαῖς
in-distributed forms
μεμερισμένος παρέστη,
divided stood-by
ὁ μὲν ἀστέρων διφρείαις,
the(-one) indeed of-stars in-(the)-chariots
ὁ δ᾽ ἐς ἀγγέλων χορείας·
the(-one) and into of-angels dances
ὁ δὲ καὶ ῥέποντι δεσμῷ
the(-one) and also by-(a)-sinking bond
χθονίαν εὕρετο μορφάν·
earthly found form

ἀπὸ δὲ σταθεὶς τοκήων
apart and having-stood from-(the)-parents
δνοφερὰν ἤρυσε λάθαν,
dark drew forgetfulness
ἀλαωποῖσι μερίμναις
with-blind cares
χθόνα θαυμάσας ἀτερπῆ
(the)-earth having-admired joyless
θεὸς ἐς θνητὰ δεδορκώς.
(a)-god into mortal(-things) having-gazed
Ἔνι μάν, ἔνι τι φέγγος
There-is indeed there-is some light
κεκαλυμμέναισι γλήναις·
in-veiled eyes
ἔνι καὶ δεῦρο πεσόντων
there-is also hither of-(those)-fallen
ἀναγώγιός τις ἀλκά,
upward-leading some strength
ὅτε κυμάτων φυγόντες
when from-(the)-waves having-fled
βιοτησίων ἀκηδεῖς
of-life free-of-care
ἁγίας ἔστειλαν οἴμους
holy they-took paths
πρὸς ἀνάκτορον τοκῆος.
to (the)-palace of-(the)-parent

μάκαρ ὅστις βορὸν ὕλας
blessed whoever (the)-devouring of-matter
προφυγὼν ὕλαγμα, καὶ γᾶς
having-escaped barking and from-earth
ἀναδὺς ἅλματι κούφῳ
having-emerged with-(a)-leap light
ἴχνος ἐς θεὸν τιταίνει.
(his)-track toward God stretches
μάκαρ ὅστις μετὰ μοίρας,
blessed whoever after (the)-fates
μετὰ μόχθους, μετὰ πικρὰς
after toils after bitter
χθονογηθεῖς μελεδῶνας
earth-delighting cares
ἐπιβὰς νόου κελεύθων
having-trodden of-mind (the)-paths
βυθὸν εἶδεν θεολαμπῆ.
(the)-depth saw God-shining
Πόνος ἔσθ' ὅλαν τανύσθαι
(A)-toil it-is whole to-stretch
κραδίαν ὅλοισι ταρσοῖς
(the)-heart with-whole wings
ἀναγωγίων ἐρώτων.
of-upward-leading loves
μόνον ἐμπέδωσον ὁρμὰν
only make-steadfast (the)-impulse
νοερηφόροισιν ὁρμαῖς·
with-mind-bearing impulses

ὁ δέ τοι πέλας φανεῖται
the and to-you near will-appear
γενέτας χεῖρας ὀρεγνύς·
begetter (his)-hands stretching
προθέοισα γάρ τις ἀκτὶς
running-before for some ray
καταλάμψει μὲν ἀταρπούς,
will-illumine indeed (the)-paths
πετάσει δέ τοι νοητὸν
will-spread-out and to-you (the)-intelligible
πεδίον, κάλλεος ἀρχάν.
plain of-beauty (the)-beginning
Ἄγε μοι, ψυχά, πιοῖσα
Come for-me soul having-drunk
ἀγαθορρύτοιο παγᾶς,
of-(the)-good-flowing spring
ἱκετεύσασα τοκῆα
having-supplicated (the)-parent
ἀνάβαινε μηδὲ μέλλε
go-up nor delay
χθονὶ τὰ χθονὸς λιποῖσα·
to-earth the(-things) of-earth having-left
τάχα δ' ἂν μιγεῖσα πατρὶ
soon and — having-mingled with-(the)-father
θεὸς ἐν θεῷ χορεύσαις.
god in God you-may-dance

Πάλι φέγγος, πάλιν ἀώς

II · A MORNING HYMN

Light returns, and Synesius bids his heart sing God, who gave the dawn its light and the night its stars. He traces the ether, the moon, the eighth sphere, and the silence beyond the intellectual and intelligible. One spring and one root shone in threefold form, the Father's depth, the glorious Son, and the Spirit, and from it came the angels, daemons, heroes, and souls. God is father and mother, voice and silence, root of the world; Synesius asks wisdom, a calm life, health, and freedom from cares, that his mind may rise to his mysteries.

Πάλι φέγγος, πάλιν ἀώς,
Again light again dawn
πάλιν ἁμέρα προλάμπει
again day shines-forth
μετὰ νυκτίφοιτον ὄρφναν·
after night-roaming darkness
πάλι μοι λίγαινε, θυμέ,
again for-me sing heart
θεὸν ὀρθρίοισιν ὕμνοις,
God with-dawn hymns
ὃς ἔδωκε φέγγος ἀοῖ,
who gave light to-dawn
ὃς ἔδωκεν ἄστρα νυκτί,
who gave stars to-night
περικοσμίαν χορείαν.
(an)-around-the-world dance

πολυκύμονος μὲν ὕλας
of-much-teeming indeed matter
ἐκάλυψε νῶτον αἰθὴρ
covered (the)-back (the)-ether
πυρὸς ἐμβεβὼς ἀώτῳ,
of-fire having-mounted on-(the)-flower
ἵνα κυδίμα σελάνα
where glorious (the)-moon
πυμάταν ἄντυγα τέμνει·
(the)-last rim cuts
ὑπὲρ ὀγδόαν δὲ δίναν
above (the)-eighth and whirl
ἑλίκων ἀστροφορήτων
of-coils star-bearing
ῥόος ἀστέρων ἔρημος
(a)-stream of-stars deserted
ὑποκολπίους ἐλαύνων
embosomed driving
πτύχας ἀντίον θεοίσας
folds opposite deifying
μέγαν ἀμφὶ νοῦν χορεύει,
(the)-great around mind dances
ὅς ἄνακτος ἄκρα κόσμου
which of-(the)-king (the)-heights of-(the)-world
πολιοῖς ἔρεψε ταρσοῖς.
with-gray roofed wings
τὰ πρόσω μάκαιρα σιγά,
the(-things) beyond blessed silence

νοερῶν τε καὶ νοητῶν
of-intellective both and intelligible
ἄτομον τομάν, καλύπτει.
(the)-indivisible division covers
Μία παγά, μία ῥίζα
One spring one root
τριφαὴς ἔλαμψε μορφά·
three-shining shone form
ἵνα γὰρ βυθὸς πατρῷος,
where for (the)-depth paternal
τόθι καὶ κύδιμος υἱός,
there also (the)-glorious son
κραδιαῖόν τι λόχευμα,
of-(the)-heart some offspring
σοφία κοσμοτεχνῖτις·
wisdom world-crafting
ἑνοτήσιόν τε φέγγος
unifying and light
ἁγίας ἔλαμψε πνοιᾶς.
of-holy shone breath
μία παγά, μία ῥίζα
one spring one root
ἀγαθῶν ἀνέσχεν ὄλβον
of-good(-things) sent-up (the)-wealth
ὑπερούσιόν τε βλάσταν
super-essential and shoot
γονίμοις ζέοισαν ὁρμαῖς·
with-fertile seething impulses

τά τ᾽ ἐνουσίων προλάμπει
the and of-essential shine-forth
μακάρων ἀγητὰ φέγγη.
of-(the)-blessed admired lights
ὅθεν ἐγκόσμιος ἤδη
whence in-the-world already
χορὸς ἀφθίτων ἀνάκτων
(the)-choir of-immortal kings
γενετήριόν τε κῦδος
generative and glory
τό τε πρωτόσπορον εἶδος
the and first-sown form
νοεροῖς ἔμελψεν ὕμνοις·
with-intellective sang hymns
πέλας εὐμενῶν τοκήων
near kindly parents
στρατὸς ἀγγέλων ἀγήρως
(the)-host of-angels ageless
τὰ μὲν ἐς νόον δεδορκὼς
the(-things) indeed toward mind having-gazed
δρέπεται κάλλεος ἀρχάν,
plucks of-beauty (the)-beginning
τὰ δ᾽ ἐς ἄντυγας δεδορκὼς
the(-things) and toward (the)-rims having-gazed
διέπει βένθεα κόσμου,
governs (the)-depths of-(the)-world
τὸν ὕπερθε κόσμον ἕλκων
the above world drawing
νεάτας καὶ μέχρις ὕλας,
to-(the)-lowest even as-far-as matter

ἵνα δαιμόνων ὅμιλον
where of-daemons (the)-throng
φύσις ἱζάνοισα τίκτει
nature settling bears
πολύθρουν καὶ πολυμήταν·
many-voiced and many-wiled
ὅθεν ἥρως, ὅθεν ἤδη
whence (the)-hero whence already
περὶ γᾶν σπαρεῖσα πνοιὰ
around earth sown breath
χθονὸς ἐζώωσε μοίρας
of-earth animated (the)-portions
πολυδαιδάλοισι μορφαῖς·
with-many-wrought forms
τὰ δὲ πάντα σεῖο βουλᾶς
the(-things) and all of-your counsel
ἔχεται· σὺ δ' ἐσσὶ ῥίζα
hang you and are (the)-root
παρεόντων, πρό τ' ἐόντων,
of-things-present before and of-things-that-are
μετεόντων, ἐνεόντων·
of-things-after of-things-within
σὺ πατήρ, σὺ δ' ἐσσὶ μάτηρ,
you (are)-father you and are mother
σὺ δὲ ἄρρην, σὺ δὲ θῆλυς,
you and male you and female
σὺ δὲ φωνά, σὺ δὲ σιγά,
you and voice you and silence
φύσεως φύσις γονῶσα,
of-nature nature generating

σὺ δ' ἄναξ, αἰῶνος αἰών.
you and king of-age age
τὸ μὲν ᾗ θέμις βοᾶσαι·
the(-things) indeed as (is)-right to-cry
μέγα χαῖρε, ῥίζα κόσμου,
greatly rejoice root of-(the)-world
μέγα χαῖρε, κέντρον ὄντων,
greatly rejoice center of-things-that-are
μονὰς ἀμβρότων ἀριθμῶν
monad of-immortal numbers
προανουσίων ἀνάκτων.
of-pre-essential kings
μέγα χαίροις, μέγα χαίροις,
greatly may-you-rejoice greatly may-you-rejoice
ὅτι πὰρ θεῷ τὸ χαίρειν·
for beside God the to-rejoice
ἐπ' ἐμοῖς ἵλαον οὖας
to my(-words) gracious ear
τάνυσον χοροῖσιν ὕμνων·
stretch to-(the)-dances of-hymns
σοφίας ἄνοιγε φέγγος,
of-wisdom open (the)-light
κατάχει κύδιμον ὄλβον,
pour-down glorious wealth
κατάχει χάριν λιπῶσαν
pour-down grace rich
βιοτᾶς γαληνιώσας,
of-life calm

πενίαν ἐκτὸς ἐλαύνων
poverty out driving
χθονίαν τε κῆρα πλούτου·
earthly and (the)-doom of-wealth
μελέων ἔρυκε νούσους,
from-(my)-limbs keep-away diseases
παθέων δ' ἄκοσμον ὁρμὰν
of-passions and (the)-disorderly impulse
φρενοκηδεῖς τε μερίμνας
mind-troubling and cares
ἀπό μοι ζωᾶς ἐρύκοις,
from me of-life may-you-keep-away
ἵνα μὴ τὸ νοῦ πτέρωμα
that not the of-mind wing
ἐπιβρίσῃ χθονὸς ἄτα·
weigh-down of-earth (the)-folly
ἄνετον δὲ ταρσὸν αἴρων
free but (the)-wing raising
περὶ σᾶς ὄργια βλάστας
around of-your rites of-offspring
τὰ πανάρρητα χορεύσω.
the all-ineffable I-may-dance

Ἄγε μοι ψυχὰ

III · THE TRIAD

lights and light and holy three and one holy
ὑμνεῖται θεὸς ἡ τριάς·
is-hymned God the trinity
ἀλλ᾽ ἀνύμνησον, δόξασον ζωὴν καὶ ζωάς,
but hymn glorify life and lives
ψυχή, τὸν πάντων θεόν. 240
soul the of-all God

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, θεογεννῆτορ,
We-hymn you we-bless you we-worship you God-begetter
ὅτι τῆς ἀχωρίστου τριάδος ἀπεκύησας
because of-the inseparable trinity you-brought-forth
τὸν ἕνα υἱὸν καὶ θεόν,
the one son and God
καὶ αὐτὴ προηνέῳξας ἡμῖν τοῖς ἐν γῇ
and you-yourself opened-beforehand to-us those on earth
τὰ ἐπουράνια.
the heavenly(-things)

ᾠδὴ η΄
ode 8
Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσι καὶ φρίττει τὰ Χερουβὶμ
Whom (the)-hosts of-heavens glorify and trembles-before the Cherubim
καὶ τὰ Σεραφίμ, πᾶσα πνοὴ καὶ κτίσις
and the Seraphim every breath and creature
ὑμνεῖτε, εὐλογεῖτε καὶ ὑπερυψοῦτε
hymn bless and exalt-above-all
εἰς πάντας τοὺς αἰῶνας.
to all the ages

Ἡμαρτηκότα, σωτήρ, ἐλέησον, διέγειρόν μου τὸν νοῦν
Having-sinned savior have-mercy-on rouse my the mind
πρὸς ἐπιστροφήν, δέξαι μετανοοῦντα,
to turning receive repenting
οἰκτείρησον βοῶντα· ἥμαρτόν σοι, σῶσον·
pity crying I-sinned against-you save
ἠνόμησα, ἐλέησόν με.
I-transgressed have-mercy-on me

Ὁ διφρηλάτης Ἠλίας ἅρματι ταῖς ἀρεταῖς ἐπιβὰς
The charioteer Elijah on-(a)-chariot with-the virtues having-mounted
ὡς εἰς οὐρανὸν ἤγετο ὑπεράνω
as to heaven was-carried above
ποτὲ τῶν ἐπιγείων· τούτου οὖν, ψυχή μου,
once the earthly(-things) of-this(-one) then soul my
τὴν ἄνοδον ἀναλογίζου.
the going-up reckon-up

Ὁ Ἐλισσαῖός ποτε δεξάμενος τὴν μηλωτὴν Ἠλιοὺ
— Elisha once having-received the sheepskin of-Elijah
ἔλαβε διπλῆν χάριν παρὰ κυρίου·
took double grace from (the)-Lord
αὐτὴ δέ, ὦ ψυχή μου, ταύτης οὐ μετέσχες
you-yourself but O soul my this not partook
τῆς χάριτος δι᾽ ἀκρασίαν.
the grace because-of incontinence

Τοῦ Ἰορδάνου τὸ ῥεῖθρον πρότερον τῇ μηλωτῇ Ἠλιοὺ
— *of-Jordan the stream formerly by-the sheepskin of-Elijah*
δι᾽ Ἐλισσαιὲ ἔστη ἔνθα καὶ ἔνθα·
through Elisha stood here and there
αὐτὴ δέ, ὦ ψυχή μου, ταύτης οὐ μετέσχες
you-yourself but O soul my this not partook
τῆς χάριτος δι᾽ ἀκρασίαν.
the grace because-of incontinence

Ἡ Σωμανῖτις ποτὲ τὸν δίκαιον ἐξένισεν, ὦ ψυχή,
The Shunammite once the just(-man) entertained O soul
γνώμῃ ἀγαθῇ, σὺ δὲ οὐκ εἰσῳκίσω,
with-intent good you but not took-in
οὐ ξένον, οὐχ ὁδίτην· ὅθεν τοῦ νυμφῶνος
not (a)-stranger not (a)-wayfarer whence from-the bridal-chamber
ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.
you-will-be-cast out lamenting

Τοῦ Γιεζῆ ἐμιμήσω, τάλαινα, τὴν γνώμην τὴν ῥυπαρὰν
— *of-Gehazi you-imitated wretched the intent the filthy*
πάντοτε, ψυχή· οὗ τὴν φιλαργυρίαν
always soul whose the love-of-money
ἀπόθου κἂν ἐν γήρει, φεῦγε τῆς γεέννης
put-away even-if in old-age flee of-the Gehenna
τὸ πῦρ, ἐκστᾶσα τῶν κακῶν σου.
the fire departing-from the evils your

Ἄναρχε πάτερ, υἱὲ συνάναρχε, παράκλητε ἀγαθέ,
Unbeginning father son co-unbeginning comforter good
πνεῦμα τὸ εὐθές, λόγου θεοῦ γεννῆτορ,
spirit the upright of-(the)-word of-God begetter
πατρὸς ἀνάρχου λόγε, πνεῦμα ζῶν καὶ κτίζον,
of-(the)-father unbeginning word spirit living and creating
τριὰς μονὰς ἐλέησόν με.
trinity unity have-mercy-on me

Ὡς ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρίς,
As from (a)-dye of-sea-purple spotless(-one) the spiritual purple-robe
τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου
— of-Emmanuel within in the womb your
ἡ σὰρξ συνεξυφάνθη· ὅθεν θεοτόκον
the flesh was-woven-together whence God-bearer
ἐν ἀληθείᾳ σε τιμῶμεν.
in truth you we-honor

ᾠδὴ θ΄
ode 9
Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος,
Of-seedless conception the birth inexplicable
μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις·
of-(a)-mother husbandless incorrupt the bearing

θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις·
of-God for the birth renews the natures
διό σε πᾶσαι αἱ γενεαὶ ὡς θεόνυμφον μητέρα
wherefore you all the generations as God-wedded mother
ὀρθοδόξως μεγαλύνομεν.
in-orthodox-faith we-magnify

Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται,
The mind has-been-wounded the body has-grown-weak
νοσεῖ τὸ πνεῦμα, ὁ λόγος ἠσθένησεν,
is-sick the spirit the reason has-become-feeble
ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις·
the life has-been-deadened the end at (the)-doors
διό μοι, τάλαινα ψυχή, τί ποιήσεις, ὅταν ἔλθῃ
wherefore to-me wretched soul what will-you-do when comes
ὁ κριτὴς ἀνερευνῆσαι τὰ σά;
the judge to-search-out the your(-things)

Μωσέως παρήγαγον, ψυχή, τὴν κοσμογένεσιν
of-Moses I-brought-forward soul the world-genesis
καὶ ἐξ ἐκείνου πᾶσαν ἐνδιάθετον
and from that(-one) all covenanted
γραφὴν ἱστοροῦσάν σοι δικαίους καὶ ἀδίκους·
scripture recounting to-you just(-men) and unjust(-men)
ὧν τοὺς δευτέρους, ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους,
of-whom the second O soul you-imitated not the first
εἰς θεὸν ἐξαμαρτήσασα.
against God having-sinned

Ὁ νόμος ἠσθένησεν, ἀργεῖ τὸ εὐαγγέλιον,
The law has-grown-weak is-idle the gospel
γραφὴ δὲ πᾶσα ἐν σοὶ παρημέληται,
scripture and all by you has-been-neglected
προφῆται ἠτόνησαν καὶ πᾶς δικαίου λόγος·
prophets have-become-powerless and every of-(the)-just word
αἱ τραυματίαι σου, ὦ ψυχή, ἐπληθύνθησαν οὐκ ὄντος
the wounds your O soul have-multiplied not being
ἰατροῦ τοῦ ὑγιοῦντός σε.
(a)-physician the(-one) healing you

Τῆς νέας παράγω σοι γραφῆς τὰ ὑποδείγματα,
Of-the new I-bring-forward to-you scripture the examples
ἐνάγοντά σε, ψυχή, πρὸς κατάνυξιν·
leading you soul to compunction
δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου
just(-men) then emulate sinners turn-from
καὶ ἐξιλέωσαι Χριστὸν προσευχαῖς τε καὶ νηστείαις
and propitiate Christ with-prayers both and fasts
καὶ ἁγνείᾳ καὶ σεμνότητι.
and with-purity and with-dignity

Χριστὸς ἐνηνθρώπησε, καλέσας εἰς μετάνοιαν
Christ became-man having-called to repentance
λῃστὰς καὶ πόρνας· ψυχή, μετανόησον,
robbers and harlots soul repent
ἡ θύρα ἠνέωκται τῆς βασιλείας ἤδη,
the door has-been-opened of-the kingdom already
καὶ προαρπάζουσιν αὐτὴν Φαρισαῖοι καὶ τελῶναι
and seize-beforehand it Pharisees and tax-collectors
καὶ μοιχοὶ μεταποιούμενοι.
and adulterers changing

Χριστὸς ἐνηνθρώπησε, σαρκὶ προσομιλήσας μοι
Christ became-man in-flesh having-conversed-with me
καὶ πάντα, ὅσα ὑπάρχει τῆς φύσεως,
and all as-much-as belongs to-the nature
βουλήσει ἐπλήρωσε τῆς ἁμαρτίας δίχα,
by-will be-fulfilled the sin without
ὑπογραμμόν σοι, ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων
(a)-pattern to-you O soul and (an)-image showing-beforehand
τῆς αὐτοῦ συγκαταβάσεως.
of-the his condescension

Χριστὸς μάγους ἔσωσε, ποιμένας συνεκάλεσε,
Christ magi saved shepherds called-together
νηπίων δήμους ἀπέδειξε μάρτυρας,
of-infants throngs showed-forth (as)-martyrs
πρεσβύτην ἐδόξασε καὶ γηραλέαν χήραν,
(the)-old-man glorified and aged widow
ὧν οὐκ ἐζήλωσας, ψυχή, οὐ τὰς πράξεις, οὐ τὸν βίον·
whose not you-emulated soul not the deeds not the life
ἀλλ᾽ οὐαί σοι ἐν τῷ κρίνεσθαι.
but woe to-you in the being-judged

Νηστεύσας ὁ κύριος ἡμέρας τεσσαράκοντα
Having-fasted the Lord days forty
ἐν τῇ ἐρήμῳ ὕστερον ἐπείνασε
in the desert afterward hungered
δεικνὺς τὸ ἀνθρώπινον· ψυχή, μὴ ἀθυμήσῃς,
showing the human soul not despond
ἄν σοι προσβάλλῃ ὁ ἐχθρός· προσευχῇ τε καὶ νηστείᾳ
if you assails the enemy with-prayer both and fasting
ἐκποδὼν ἀποκρουσθήτω σοι.
out-of-the-way let-him-be-beaten-off by-you

Πατέρα δοξάσωμεν, υἱὸν ὑπερυψώσωμεν,
(the)-Father let-us-glorify (the)-son let-us-exalt-above-all
τὸ θεῖον πνεῦμα πιστῶς προσκυνήσωμεν,
the divine spirit faithfully let-us-worship
τριάδα ἀχώριστον, μονάδα κατ᾽ οὐσίαν,
trinity inseparable unity according-to essence
ὡς φῶς καὶ φῶτα, καὶ ζωὴν καὶ ζωάς, ζωοποιοῦσαν
as light and lights and life and lives giving-life
καὶ φωτίζουσαν τὰ πέρατα.
and enlightening the ends

Τὴν πόλιν σου φύλαττε, θεογεννῆτορ πάναγνε·
The city your guard God-begetter all-pure
ἐν σοὶ γὰρ αὕτη πιστῶς βασιλεύουσα,
in you for it faithfully reigning
ἐν σοὶ καὶ κρατύνεται καὶ διὰ σοῦ νικῶσα
in you also is-strengthened and through you conquering
τροποῦται πάντα πειρασμὸν καὶ σκυλεύει πολεμίους
puts-to-flight every temptation and despoils enemies
καὶ διέπει τὸ ὑπήκοον.
and governs the subject(-people)

COSMAS THE MELODIST

ΚΟΣΜΑ ΤΟΥ ΜΑΙΟΥΜΑ ΚΑΝΟΝΕΣ

Canons

Κανὼν εἰς τὴν Ὕψωσιν τοῦ σταυροῦ

I · ON THE EXALTATION OF THE CROSS

Cosmas sings the cross foreshadowed in the Old Testament. Moses parts the sea with a rod and wins against Amalek with outstretched hands, and his serpent on a pole heals; a budding rod chooses the priest, the rock gushes water, wood sweetens bitter springs, Jonah spreads his hands in the whale, and Jacob crosses his hands in blessing. The heavens showed the cross to a pious emperor, and kings now boast of it. The three children sing in the furnace, and the tree that brought death is answered by the tree of life. All creation, and the trees of the forest, rejoice as the cross is raised.

ᾠδὴ α΄

ode 1

Σταυρὸν χαράξας Μωσῆς

(A)-cross having-traced Moses

ἐπ᾽ εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε

in straight(-line) with-(the)-rod the red(-sea) cleft

τῷ Ἰσραὴλ πεζεύσοντι·

— for-Israel about-to-go-on-foot

τὴν δὲ ἐπιστρεπτικῶς

the(-sea) and backward

Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, 5

on-Pharaoh with-the chariots having-struck he-united

ἐπ᾽ εὔρους διαγράψας τὸ ἀήττητον ὅπλον·

in breadth having-drawn the invincible weapon

διὸ Χριστῷ ᾄσωμεν

wherefore to-Christ let-us-sing

τῷ θεῷ ἡμῶν, ὅτι δεδόξασται.

— to-God our for he-has-been-glorified

Τὸν τύπον πάλαι Μωσῆς
The type of-old Moses
τοῦ ἀχράντου πάθους ἐν ἑαυτῷ προέφηνε
of-the spotless passion in himself showed-beforehand
τῶν ἱερῶν μεσούμενος·
of-the priests standing-in-the-midst
σταυρῷ δὲ σχηματισθεὶς
in-(the)-cross and shaped
τεταμέναις τρόπαιον παλάμαις ἤγειρε,
with-outstretched (a)-trophy palms raised
τὸ κράτος διολέσας Ἀμαλὴκ τοῦ πανώλους·
the might having-destroyed of-Amalek the all-destroying
διὸ Χριστῷ ᾄσωμεν
wherefore to-Christ let-us-sing
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξασται.
— to-God our for he-has-been-glorified

Ἀνέθηκε Μωϋσῆς
Set-up Moses
ἐπὶ στήλης ἄκος φθοροποιοῦ λυτήριον
on (a)-pillar (a)-cure of-(the)-destructive releasing
καὶ ἰοβόλου δήγματος,
and venomous bite

καὶ ξύλῳ τύπῳ σταυροῦ
and on-wood in-(the)-type of-(the)-cross
τὸν πρὸς γῆν συρόμενον ὄφιν προσέδησεν
the on (the)-ground crawling serpent bound
ἐγκάρσιον, ἐν τούτῳ θριαμβεύσας τὸ πῆμα·
crosswise on this having-triumphed-over the bane
διὸ Χριστῷ ᾄσωμεν
wherefore to-Christ let-us-sing
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξασται.
— to-God our for he-has-been-glorified

Ὑπέδειξεν οὐρανὸς
Showed heaven
τοῦ σταυροῦ τὸ τρόπαιον τῷ εὐσεβείας κράντορι
of-the cross the trophy to-the of-piety ruler
καὶ βασιλεῖ θεόφρονι,
and king God-minded
ἐχθρῶν ἐν ᾧ δυσμενῶν
of-enemies in which hostile
κατελύθη φρύαγμα, ἀπάτη ἀνετράπη δὲ
was-destroyed (the)-insolence deceit was-overturned and
καὶ πίστις ἐφηπλώθη γῆς τοῖς πέρασι θεία·
and faith was-spread-out of-earth to-the ends divine
διὸ Χριστῷ ᾄσωμεν
wherefore to-Christ let-us-sing
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξασται.
— to-God our for he-has-been-glorified

ᾠδὴ γ΄

ode 3

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται·

(A)-rod for (a)-type of-the mystery is-taken

τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα·

by-the sprouting for it-chooses the priest

τῇ στειρευούσῃ δὲ πρώην ἐκκλησίᾳ νῦν ἐξήνθησε

for-the being-barren and formerly church now has-blossomed

ξύλον σταυροῦ εἰς κράτος καὶ στερέωμα.

(the)-wood of-(the)-cross for might and firmament

Ὡς ἐπαφῆκε ῥαπιζομένη ὕδωρ ἀκρότομος,

When sent-forth being-struck water (the)-sheer-rock

ἀπειθοῦντι λαῷ καὶ σκληροκαρδίῳ

to-(a)-disobedient people and hard-hearted

τῆς θεοκλήτου ἐδήλου ἐκκλησίας τὸ μυστήριον,

of-the God-called it-showed church the mystery

ἧς ὁ σταυρὸς τὸ κράτος καὶ στερέωμα.

of-which the cross (is)-the might and firmament

Πλευρᾶς ἀχράντου λόγχῃ τρωθείσης ὕδωρ σὺν αἵματι

(The)-side spotless by-(a)-lance having-been-wounded water with blood

ἐξεβλύσθη ἐγκαινίζον διαθήκην

gushed-out renewing (the)-covenant

καὶ ῥυπτικὸν ἁμαρτίας· τῶν πιστῶν γὰρ σταυρὸς καύχημα

and cleansing of-sin of-the faithful for (the)-cross (is)-boast

καὶ βασιλέων κράτος καὶ στερέωμα.

and of-kings might and firmament

ᾠδὴ δ΄

ode 4

Εἰσακήκοα, κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον,

I-have-heard Lord of-the dispensation your the mystery

κατενόησα τὰ ἔργα σου

I-have-considered the works your

καὶ ἐδόξασά σου τὴν θεότητα.

and I-have-glorified your the godhead

Πικρογόνους μετέβαλε ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι,

Bitter-making changed by-wood Moses springs in desert of-old

τῷ σταυρῷ πρὸς τὴν εὐσέβειαν

by-the cross to the piety

τῶν ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

of-the nations showing-beforehand the change

Ὁ βυθῷ κολπωσάμενος τέμνουσαν ἀνέδωκεν Ἰορδάνης ξύλῳ,

The in-deep embosoming (the)-cutter gave-up Jordan by-wood

τῷ σταυρῷ καὶ τῷ βαπτίσματι

by-the cross and by-the baptism

τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.

the cutting-off of-the error signifying

Ἱερῶς προστοιβάζεται ὁ τετραμερὴς λαὸς προηγούμενος
Sacredly is-ranged the fourfold people going-before
τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς,
of-the in type of-witness tabernacle
σταυροτύποις τάξεσι κλεϊζόμενος.
in-cross-shaped ranks made-famous

Θαυμαστῶς ἐφαπλούμενος τὰς ἡλιακὰς βολὰς ἐξηκόντισεν
Wondrously spread-out the solar rays shot-forth
ὁ σταυρός, καὶ διηγήσαντο
the cross and declared
οὐρανοὶ τὴν δόξαν τοῦ θεοῦ ἡμῶν.
(the)-heavens the glory — of-God our

ᾠδὴ ϵ΄
ode 5
Ὦ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς
O thrice-blessed wood on which was-stretched Christ
ὁ βασιλεὺς καὶ κύριος·
the king and Lord
δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας,
through which has-fallen the(-one) by-wood having-deceived
τῷ ἐν σοὶ δελεασθεὶς θεῷ τῷ προσπαγέντι σαρκί,
by-the on you lured God the(-one) nailed in-flesh
τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.
the(-one) granting the peace to-the souls our

Σὲ τὸ ἀοίδιμον ξύλον, ἐν ᾧ ἐτάθη Χριστός,
You the sung-of wood on which was-stretched Christ
ἡ τὴν Ἐδὲμ φυλάττουσα
the — Eden guarding
στρεφομένη ῥομφαία, σταυρέ, ἠδέσθη·
turning sword cross revered
τὸ φρικτὸν δὲ Χερουβὶμ εἶξε τῷ σοὶ παγέντι Χριστῷ,
the dread and Cherubim yielded to-the on-you fixed Christ
τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.
the(-one) granting the peace to-the souls our

Ὑποχθονίων δυνάμεις ἀντίπαλοι τοῦ σταυροῦ
Of-(the)-beneath-the-earth (the)-powers adversaries of-the cross
φρίττουσι χαραττόμενον
tremble being-traced
τὸ σημεῖον ἐν ἀέρι, ᾧ πολοῦσιν·
the sign in (the)-air in-which they-move
οὐρανίων, γηγενῶν γένος δὲ γόνυ κάμπτει Χριστῷ,
of-heavenly of-earth-born (the)-race and knee bends to-Christ
τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.
the(-one) granting the peace to-the souls our

Μαρμαρυγαῖς ἀκηράτοις φανεὶς ὁ θεῖος σταυρός,
With-flashings undefiled having-appeared the divine cross
ἐσκοτισμένοις ἔθνεσι
to-darkened nations
τοῖς ἐν πλάνῃ ἀπάτης τὸ θεῖον φέγγος
those in error of-deceit the divine light
ἀπαστράψας, οἰκειοῖ τῷ ἐν αὐτῷ παγέντι Χριστῷ,
having-flashed makes-kin to-the on it fixed Christ
τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.
the(-one) granting the peace to-the souls our

ᾠδὴ ϛ΄
ode 6

Νοτίου θηρὸς ἐν σπλάγχνοις παλάμας Ἰωνᾶς
Of-(the)-sea beast in (the)-entrails (the)-palms Jonah
σταυροειδῶς διεκπετάσας
in-cross-shape having-spread-out
τὸ σωτήριον πάθος προδιετύπου σαφῶς·
the saving passion prefigured clearly
ὅθεν τριήμερος ἐκδὺς
whence on-the-third-day having-come-out
τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε
the supramundane resurrection he-sketched
τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ θεοῦ
of-the in-flesh nailed Christ — God
καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.
and by-third-day rising the world having-enlightened

Ὁ γήρᾳ καμφθεὶς καὶ νόσῳ τρυχωθεὶς ἀνωρθοῦτο
The(-one) by-old-age bent and by-disease worn was-set-upright
Ἰακὼβ χεῖρας ἀμείψας,
Jacob (the)-hands having-crossed
τὴν ἐνέργειαν φαίνων τοῦ ζωηφόρου σταυροῦ·
the working showing of-the life-bearing cross
τὴν παλαιότητα καὶ γὰρ
the oldness and for
τοῦ νομικοῦ σκιώδους γράμματος ἐκαινογράφησεν
of-the legal shadowy letter he-wrote-anew
ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς ὁ θεὸς
the(-one) on this in-flesh nailed — God
καὶ τὴν ψυχώλεθρον νόσον τῆς πλάνης ἀπήλασεν.
and the soul-destroying disease of-the error drove-away

Νεαζούσαις θεὶς παλάμας ὁ θεῖος Ἰσραὴλ
On-young having-put (the)-palms the divine Israel
σταυροειδῶς κάραις ἐδήλου
in-cross-shape on-heads showed
ὡς πρεσβύτερον κλέος ὁ νομολάτρις λαός·
as elder in-glory the law-serving people
ὑποπτευθεὶς ὅθεν οὗτος
having-been-suspected whence this(-one)
ἐξηπατῆσθαι οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον·
to-have-been-deceived not altered the life-bearing type
ὑπερέξει λαὸς γὰρ Χριστοῦ τοῦ θεοῦ
will-excel (the)-people for of-Christ — God
νεοπαγής, ἀνεβόα, σταυρῷ τειχιζόμενος.
newly-made cried-out by-(the)-cross walled

ᾠδὴ ζ΄

ode 7

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς

(The)-mindless decree of-(a)-tyrant impious

λαὸν ἐκλόνησε,

(the)-people shook

πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς·

breathing threat and blasphemy God-hated

ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε

yet three children not it-terrified

105 θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον·

wrath bestial not fire roaring

ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι

but echoing-against dew-shedding wind

πυρὶ συνόντες ἔψαλλον·

in-fire being-together they-sang

ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν

the more-than-hymned of-the fathers and our

θεὸς εὐλογητὸς εἶ.

God blessed are-you

Ξύλου γευσάμενος ὁ πρῶτος ἐν βροτοῖς
Of-(the)-tree having-tasted the first among mortals
φθορᾷ παρῴκησε·
in-corruption sojourned
ῥίψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθεὶς
(a)-casting-away for of-life most-dishonorable having-been-condemned
ὅλῳ τῷ γένει, σωματοφθόρος τις
to-all the race body-destroying a-certain
ὡς λύμη τῆς νόσου, μετέδωκεν·
as (a)-plague of-the disease he-imparted
ἀλλ᾽ εὑρηκότες γηγενεῖς ἀνάκλησιν
but having-found earth-born(-men) (a)-recall
σταυροῦ τὸ ξύλον κράζωμεν·
of-(the)-cross the wood let-us-cry
ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν
the more-than-hymned of-the fathers and our
θεὸς εὐλογητὸς εἶ.
God blessed are-you

Ἔλυσε πρόσταγμα θεοῦ παρακοή,
Loosed (the)-commandment of-God disobedience
καὶ ξύλον ἤνεγκε
and (a)-tree brought
θάνατον βροτοῖς τὸ μὴ εὐκαίρως μεταληφθέν·
death to-mortals the(-one) not seasonably partaken
ἐν ἀσφαλείᾳ τῆς ἐριτίμου δὲ
in safekeeping of-the precious and
ἐντεῦθεν ζωῆς τὸ ξύλον εἴργετο,
thenceforth of-life the tree was-shut-off

ὃ νυκτιλόχου δυσθανοῦς ἀνέῳξεν
which of-(a)-night-ambushing hard-dying(-man) opened
εὐγνωμοσύνη κράζοντος·
(the)-good-sense crying
ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν
the more-than-hymned of-the fathers and our
θεὸς εὐλογητὸς εἶ.
God blessed are-you

Ῥάβδου προσπτύσσεται τὸ ἄκρον Ἰωσήφ·
Of-(a)-rod embraces the tip of-Joseph
ὁ γενησόμενα
the(-one) (the)-things-to-be
βλέπων Ἰσραήλ, τῆς βασιλείας τὸ κραταιὸν
seeing Israel of-the kingdom the mighty(-power)
ὅπως συνάξει ὁ ὑπερένδοξος
how will-gather the all-glorious
σταυρὸς προδηλῶν· οὗτος γὰρ
cross foreshowing this for
τοῖς βασιλεῦσι τροπαιοῦχον καύχημα
to-the kings trophy-bearing boast
καὶ φῶς τοῖς πίστει μέλπουσιν·
and light to-those in-faith singing
ὁ ὑπερύμνητος τῶν πατέρων καὶ ἡμῶν
the more-than-hymned of-the fathers and our
θεὸς εὐλογητὸς εἶ.
God blessed are-you

ᾠδὴ η΄
ode 8

Εὐλογεῖτε, παῖδες τῆς Τριάδος ἰσάριθμοι,
Bless children of-the Trinity equal-in-number
δημιουργὸν πατέρα θεόν·
(the)-creator father God
ὑμνεῖτε τὸν συγκαταβάντα λόγον
hymn the having-come-down-with word
καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα.
and the fire into dew having-changed
καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν
and exalt-above-all the(-one) to-all life
παρέχον πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας·
granting spirit all-holy to the ages

Ὑψουμένου ξύλου ῥαντισθέντος ἐν αἵματι
Being-raised (the)-wood sprinkled in blood
τοῦ σαρκωθέντος λόγου θεοῦ,
of-the incarnate word of-God
ὑμνεῖτε αἱ τῶν οὐρανῶν δυνάμεις
hymn the of-the heavens powers
βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι·
of-mortals the recall celebrating
λαοὶ προσκυνεῖτε Χριστοῦ τὸν σταυρόν,
peoples worship of-Christ the cross
δι᾽ οὗ τῷ κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.
through which to-the world resurrection to the ages

Γηγενεῖς, παλάμαις, οἰκονόμοι τῆς χάριτος,
Earth-born with-palms stewards of-the grace
σταυρόν, οὗ ἔστη Χριστὸς ὁ θεός,
(the)-cross on-which stood Christ — God
ὑψοῦτε ἱεροπρεπῶς καὶ λόγχην
raise sacredly and (the)-lance
θεοῦ λόγου σῶμα ἀντιτορήσασαν·
of-God (the)-word (the)-body having-pierced
ἰδέτωσαν ἔθνη πάντα τὸ σωτήριον
let-see nations all the salvation
τοῦ θεοῦ, δοξάζοντα εἰς τοὺς αἰῶνας.
— of-God glorifying to the ages

Οἱ τῇ θείᾳ ψήφῳ προκριθέντες ἀγάλλεσθε,
You-who by-the divine vote chosen-before rejoice
Χριστιανῶν πιστοὶ βασιλεῖς,
of-Christians faithful kings
καυχᾶσθε τὸ τροπαιοφόρον ὅπλον λαχόντες θεόθεν,
boast the trophy-bearing weapon having-obtained from-God
σταυρὸν τὸν τίμιον·
(the)-cross the precious
ἐν τούτῳ γὰρ φῦλα πολέμων θράσος
on this for tribes of-wars (the)-boldness
ἐπιζητοῦντα σκεδάζονται εἰς τοὺς αἰῶνας.
seeking are-scattered to the ages

ᾠδὴ θ΄

ode 9

Μυστικὸς εἶ, θεοτόκε, παράδεισος,

Mystical are-you God-bearer paradise

ἀγεωργήτως βλαστήσασα Χριστόν,

untilled having-sprouted Christ

ὑφ᾽ οὗ τὸ τοῦ σταυροῦ ζωηφόρον ἐν γῇ

by whom the of-the cross life-bearing on earth

πεφυτούργηται δένδρον·

has-been-planted tree

δι᾽ οὗ νῦν ὑψουμένου προσκυνοῦντες αὐτὸν

through which now being-raised worshiping him

σὲ μεγαλύνομεν.

you we-magnify

Ἀγαλλέσθω τὰ δρυμοῦ ξύλα σύμπαντα

Let-rejoice the of-(the)-forest trees all

ἁγιασθείσης τῆς φύσεως αὐτῶν,

having-been-sanctified the nature their

ὑφ᾽ οὗπερ ἐξ ἀρχῆς ἐφυτεύθη Χριστοῦ

by whom-indeed from (the)-beginning they-were-planted Christ

τανυθέντος ἐν ξύλῳ·

having-been-stretched on wood

δι᾽ οὗ νῦν ὑψουμένου προσκυνοῦμεν αὐτὸν

through which now being-raised we-worship him

καὶ μεγαλύνομεν.

and magnify

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι
Holy was-raised (a)-horn for-the-God-minded
τῆς κεφαλῆς τῶν ἁπάντων ὁ σταυρός,
of-the head of-the all the cross
ἐν ᾧ ἁμαρτωλῶν νοουμένων συνθλῶνται
in which of-sinners spiritual are-crushed
τὰ κέρατα πάντα·
the horns all
δι᾽ οὗ νῦν ὑψουμένου προσκυνοῦμεν αὐτὸν
through which now being-raised we-worship him
καὶ μεγαλύνομεν.
and magnify

κατ᾽ ἄλλον εἱρμόν.
after other heirmos
Ὁ διὰ βρώσεως τοῦ ξύλου τῷ γένει προσγενόμενος θάνατος
The by eating of-the tree to-the race come-upon death
διὰ σταυροῦ κατήργηται σήμερον·
through (the)-cross has-been-abolished today
τῆς γὰρ προμήτορος ἡ παγγενὴς κατάρα διαλέλυται
of-the for foremother the of-all-the-race curse has-been-dissolved
τῷ βλαστῷ τῆς ἁγνῆς θεομήτορος,
by-the offspring of-the pure God-mother
ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.
whom all the powers of-the heavens magnify

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου ἐάσας ἀναιρέσιμον, κύριε,
Not the bitterness the(-one) of-the tree having-let-be destructive Lord
διὰ σταυροῦ τελείως ἐξήλειψας·
through (the)-cross perfectly you-wiped-out
ὅθεν καὶ ξύλον ἔλυσε ποτὲ πικρίαν ὑδάτων Μερρᾶς,
whence also (a)-tree loosed once (the)-bitterness of-(the)-waters of-Marah
προτυποῦν τοῦ σταυροῦ τὴν ἐνέργειαν,
prefiguring of-the cross the working
ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.
which all the powers of-the heavens magnify

Ἀδιαλείπτως βαπτομένους τῷ ζόφῳ τοῦ προπάτορος, κύριε,
Unceasingly dipped in-the gloom of-the forefather Lord
διὰ σταυροῦ ἀνύψωσας σήμερον·
through (the)-cross you-raised-up today
ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς ἡ φύσις προκατηνέχθη,
as for by-the error very intemperately the nature was-brought-down
παγκλήρως ἡμᾶς πάλιν ἀνώρθωσε
wholly us again set-upright
τὸ φῶς τὸ τοῦ σταυροῦ σου, ὃν οἱ πιστοὶ μεγαλύνομεν.
the light the(-one) of-the cross your whom we faithful magnify

190 Ἵνα τὸν τύπον ἀποδείξῃς τῷ κόσμῳ προσκυνούμενον, κύριε,
That the type you-might-show to-the world worshiped Lord
τὸν τοῦ σταυροῦ ἐν πᾶσιν ὡς ἔνδοξον,
the(-one) of-the cross among all as glorious
ἐν οὐρανῷ ἐμόρφωσας φωτὶ ἀπλέτῳ ἠγλαϊσμένον,
in heaven you-formed with-light boundless made-splendid
βασιλεῖ πανοπλίαν ἀήττητον,
for-(the)-king (a)-panoply invincible
ἣν πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν μεγαλύνουσιν.
which all the powers of-the heavens magnify

Κανὼν εἰς τὴν τοῦ Χριστοῦ γέννησιν

II · ON THE NATIVITY

Christ is born: let the world glorify him. The creator, seeing man perish, bows the heavens and takes flesh from a virgin. The canon gathers the prophecies: the rod from Jesse's root, Jacob's expectation of the nations, and Balaam's star, whose words taught the star-gazing Magi; Ethiopians, Tarshish, Arabia, and Sheba fall down before him. Christ comes as rain on a fleece, the angel of great counsel, enrolled by Caesar's decree. The shepherds hear the angels and worship him in Bethlehem; the three children in the furnace foreshadow the virgin who bore God unburned. Babylon once carried off Zion's children; now it sends its Magi with gifts to David's daughter. Led by the star, they worship him, and Herod, raging, is mocked as they return home.

ᾠδὴ α΄
ode 1
Χριστὸς γεννᾶται· δοξάσατε·
Christ is-born glorify(-him)
Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε·
Christ from (the)-heavens go-to-meet(-him)

Χριστὸς ἐπὶ γῆς· ὑψώθητε·
Christ on earth be-exalted
ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ
sing to-the Lord all the earth
καὶ ἐν εὐφροσύνῃ ἀνυμνήσατε, λαοί,
and in gladness hymn peoples
ὅτι δεδόξασται.
for he-has-been-glorified

Ῥεύσαντα ἐκ παραβάσεως
Having-fallen-away through transgression
θεοῦ τὸν κατ᾽ εἰκόνα γενόμενον,
of-God the according-to (the)-image having-come-to-be
ὅλον τῆς φθορᾶς ὑπάρξαντα,
wholly of-the corruption being
κρείττονος ἐπταικότα θείας ζωῆς
from-(the)-better having-fallen divine life
αὖθις ἀναπλάττει ὁ σοφὸς δημιουργός,
again refashions the wise creator
ὅτι δεδόξασται.
for he-has-been-glorified

Ἰδὼν ὁ κτίστης ὀλλύμενον
Having-seen the creator perishing
τὸν ἄνθρωπον, χερσὶν ὃν ἐποίησε,
the man with-hands whom he-made
κλίνας οὐρανοὺς κατέρχεται·
having-bowed (the)-heavens comes-down

τοῦτον δὲ ἐκ παρθένου θείας ἁγνῆς
him and from (a)-virgin divine pure
ὅλον ὁσιοῦται ἀληθείᾳ σαρκωθείς,
wholly he-hallows in-truth having-been-made-flesh
ὅτι δεδόξασται.
for he-has-been-glorified

Σοφία, λόγος καὶ δύναμις,
Wisdom word and power
υἱὸς ὢν τοῦ πατρὸς καὶ ἀπαύγασμα,
son being of-the father and radiance
Χριστὸς ὁ θεὸς δυνάμεις λαθών,
Christ — God powers having-escaped-the-notice-of
ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ,
as-many-as above-the-world as-many-as on earth
καὶ ἐνανθρωπήσας ἀνεκτήσατο ἡμᾶς,
and having-become-man regained us
ὅτι δεδόξασται.
for he-has-been-glorified

ᾠδὴ γ΄
ode 3
Τῷ πρὸ τῶν αἰώνων
To-the before the ages
ἐκ πατρὸς γεννηθέντι ἀρρεύστως υἱῷ
from (the)-father begotten without-flux son
καὶ ἐπ᾽ ἐσχάτων ἐκ παρθένου
and at (the)-last from (a)-virgin

σαρκωθέντι ἀσπόρως
made-flesh seedlessly
Χριστῷ τῷ θεῷ βοήσωμεν·
to-Christ — God let-us-cry
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν
The(-one) having-raised the horn our
ἅγιος εἶ, κύριε.
holy are-you Lord

Ὁ τῆς ἐπιπνοίας
The of-the inbreathing
μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκὸς
having-partaken the better Adam earthy
καὶ πρὸς φθορὰν κατολισθήσας
and to corruption having-slipped-down
γυναικείᾳ ἀπάτῃ
by-womanly deceit
Χριστῷ γυναικὸς βοᾷ ἐξ ὀρῶν·
to-Christ of-(a)-woman cries from (the)-mountains
Ὁ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γεγονὼς
The(-one) because-of me like me having-become
ἅγιος εἶ, κύριε.
holy are-you Lord

Σύμμορφος πηλίνης,
Conformed of-clay
εὐτελοῦς διαρτίας, Χριστέ, γεγονὼς
of-mean frame Christ having-become
καὶ μετοχῇ σαρκὸς τῆς χείρω
and by-participation of-flesh the worse
μεταδοὺς θείας φύτλης,
having-imparted of-divine nature
βροτὸς πεφυκὼς καὶ μείνας θεὸς
mortal having-been-born and having-remained God
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
and having-raised the horn our
ἅγιος εἶ, κύριε.
holy are-you Lord

Βηθλεὲμ εὐφραίνου,
Bethlehem rejoice
ἡγεμόνων Ἰούδα βασίλεια·
of-(the)-princes of-Judah (the)-royal-seat
τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων,
— Israel for the(-one) shepherding
Χερουβὶμ ὁ ἐπ᾽ ὤμων,
of-Cherubim the(-one) upon shoulders
ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς
from you having-come-forth Christ manifestly
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
and having-raised the horn our
πάντων ἐβασίλευσεν.
over-all reigned

ᾠδὴ δ΄

ode 4

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ

(A)-rod from the root of-Jesse

καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ,

and (a)-flower from it Christ

ἐκ τῆς παρθένου ἐνεβλάστησας·

from the virgin you-sprouted

ἐξ ὄρους ὁ αἰνετὸς κατασκίου δασέος

from (the)-mountain the praised(-one) overshadowed dense

ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου

you-came made-flesh from (one)-knowing-no-man

ὁ ἄϋλος καὶ θεός·

the immaterial and God

δόξα τῇ δυνάμει σου, κύριε.

glory to-the power your Lord

Ὃν πάλαι προεῖπεν Ἰακὼβ

Whom of-old foretold Jacob

ἐθνῶν ἀπεκδοχήν, Χριστέ,

of-nations (the)-expectation Christ

φυλῆς Ἰούδα ἐξανέτειλας

of-(the)-tribe of-Judah you-rose

καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας σκῦλά τε

and (the)-power of-Damascus of-Samaria (the)-spoils and

ἦλθες προνομεύσων, πλάνην τρέπων
you-came to-plunder error turning
εἰς πίστιν θεοτερπῆ·
to faith God-pleasing
δόξα τῇ δυνάμει σου, κύριε.
glory to-the power your Lord

Τοῦ μάντεως πάλαι Βαλαὰμ
Of-the seer of-old Balaam
τῶν λόγων μυητὰς σοφοὺς
of-the words initiates wise
ἀστεροσκόπους χαρᾶς ἔπλησας.
star-gazers with-joy you-filled
ἀστὴρ ἐκ τοῦ Ἰακὼβ ἀνατείλας, δέσποτα·
(a)-star from — Jacob having-risen master
ἐθνῶν ἀπαρχὴν εἰσαγομένους
of-nations (as)-first-fruit being-led-in
ἐδέξω δὲ προφανῶς·
you-received and manifestly
δόξα τῇ δυνάμει σου, κύριε.
glory to-the power your Lord

Ὡς πόκῳ γαστρὶ παρθενικῇ
As on-(a)-fleece into-(the)-womb virginal
κατέβης ὑετός, Χριστέ,
you-came-down (as)-rain Christ
καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι·
and as drops on earth dripping

Αἰθίοπες καὶ Θαρσεῖς καὶ Ἀράβων νῆσοί τε,
Ethiopians and Tarshish and of-Arabs islands and
Σαβᾶ, Μήδων, πάσης γῆς κρατοῦντες
Sheba of-Medes of-all earth ruling
προσέπεσόν σοι, σωτήρ·
fell-down-before you savior
δόξα τῇ δυνάμει σου, κύριε.
glory to-the power your Lord

ᾠδὴ ϵ΄
ode 5
Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν,
God being of-peace father of-compassions
τῆς μεγάλης βουλῆς σου τὸν ἄγγελον
of-the great counsel your the angel
εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν·
peace granting you-sent to-us
ὅθεν θεογνωσίας πρὸς φῶς ὁδηγηθέντες,
whence of-knowledge-of-God to light having-been-guided
ἐκ νυκτὸς ὀρθρίζοντες
from night rising-early
δοξολογοῦμέν σε, φιλάνθρωπε.
we-glorify you lover-of-mankind

Ἐν δούλοις τῷ Καίσαρος δόγματι
Among slaves by-the of-Caesar decree
ἀπεγράφης πιθήσας καὶ δούλους ἡμᾶς
you-were-enrolled having-obeyed and slaves us
ἐχθροῦ καὶ ἁμαρτίας ἠλευθέρωσας, Χριστέ.
of-(the)-enemy and of-sin you-freed Christ
ὅλον τὸ καθ' ἡμᾶς δὲ πτωχεύσας καὶ χοϊκὸν
all the(-part) like us and having-become-poor and earthy
ἐξ αὐτῆς ἑνώσεως
from very union
καὶ κοινωνίας ἐθεούργησας.
and communion you-made-divine

Ἰδοὺ ἡ παρθένος, ὡς πάλαι φησίν.
Behold the virgin as of-old it-says
ἐν γαστρὶ συλλαβοῦσα ἐκύησεν
in womb having-conceived bore
θεὸν ἐνανθρωπήσαντα καὶ μένει παρθένος·
God become-man and remains (a)-virgin
δι' ἧς καταλλαγέντες θεῷ οἱ ἁμαρτωλοὶ
through whom having-been-reconciled to-God the sinners
θεοτόκον κυρίως
God-bearer properly
οὖσαν ἐν πίστει ἀνυμνήσωμεν.
being in faith let-us-hymn

ᾠδὴ ϛ΄
ode 6

Σπλάγχνων Ἰωνᾶν ἔμβρυον ἀπήμεσεν
From-(its)-entrails Jonah (as)-embryo vomited
ἐνάλιος θήρ, οἷον ἐδέξατο·
sea beast as it-had-received
τῇ παρθένῳ δὲ
in-the virgin and
ἐνοικήσας ὁ λόγος καὶ σάρκα λαβὼν
having-dwelt the word and flesh having-taken
διελήλυθε φυλάξας ἀδιάφθορον·
has-passed-through having-kept(-her) uncorrupted
ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως
of-which for not he-underwent flux
τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.
the(-one) having-borne-him he-kept unharmed

Ἦλθε σαρκωθεὶς Χριστὸς ὁ θεὸς ἡμῶν.
Came made-flesh Christ — God our
γαστρὸς ὃν πατὴρ πρὸ Ἑωσφόρου γεννᾷ·
from-(the)-womb whom (the)-father before (the)-Morning-star begets
τὰς ἡνίας δὲ
the reins and
ὁ κρατῶν τῶν ἀχράντων δυνάμεων
the(-one) holding of-the spotless powers

ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται,
in (a)-manger of-the irrational(-beasts) is-laid
ῥάκει σπαργανοῦται, λύει δὲ
in-(a)-rag he-is-swaddled looses and
πολυπλόκους σειρὰς παραπτώσεων.
(the)-much-entangled chains of-transgressions

Νέον ἐξ Ἀδὰμ παιδίον φυράματος
New from of-Adam (a)-child lump
ἐτέχθη υἱὸς καὶ πιστοῖς δέδοται·
was-born (a)-son and to-(the)-faithful has-been-given
τοῦ δὲ μέλλοντος
of-the and to-come
οὗτός ἐστιν αἰῶνος πατὴρ καὶ ἄρχων
this(-one) is age father and ruler
καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος·
and is-called of-the great counsel angel
οὗτος ἰσχυρὸς θεός ἐστι
this(-one) mighty God is
καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως.
and ruling in-authority over-the creation

ᾠδὴ ζ΄

ode 7

Οἱ παῖδες εὐσεβείᾳ
The children in-piety

συντραφέντες, δυσσεβοῦς προστάγματος
brought-up-together of-(an)-impious decree

καταφρονήσαντες
having-despised

πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν,
of-fire (the)-threat not were-terrified

ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον·
but in (the)-midst of-the flame standing sang

ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.
the of-the fathers God blessed are-you

Ποιμένες ἀγραυλοῦντες
Shepherds dwelling-in-the-field

ἐκπλαγοῦς φωτοφανείας ἔτυχον·
of-astounding light-appearing obtained

δόξα κυρίου γὰρ
glory of-(the)-Lord for

αὐτοὺς περιέλαμψε καὶ ἄγγελος,
them shone-around and (an)-angel

ἀνυμνήσατε, βοῶν, ὅτι ἐτέχθη Χριστός·
hymn crying for was-born Christ

ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.
the of-the fathers God blessed are-you

Ἐξαίφνης σὺν τῷ λόγῳ
Suddenly with the word
τοῦ ἀγγέλου οὐρανῶν στρατεύματα.
of-the angel of-heavens hosts
δόξα, ἐκραύγαζον,
glory cried
θεῷ ἐν ὑψίστοις, ἐπὶ γῆς εἰρήνη,
to-God in highest on earth peace
ἐν ἀνθρώποις εὐδοκία Χριστὸς ἔλαμψεν·
among men good-pleasure Christ has-shone
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.
the of-the fathers God blessed are-you

Ῥῆμα τί τοῦτο; εἶπον
Word what this said
οἱ ποιμένες, διελθόντες ἴδωμεν
the shepherds having-gone-over let-us-see
τὸ γεγονὸς θεῖον.
the having-happened divine(-thing)
Χριστόν· Βηθλεὲμ καταλαβόντες δὲ
Christ Bethlehem having-reached and
σὺν [τῇ] τεκούσῃ προσεκύνουν ἀναμέλποντες·
with the(-one) having-borne-him they-worshiped singing
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.
the of-the fathers God blessed are-you

ᾠδὴ η΄
ode 8

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος
Of-(a)-wonder supernatural the dew-shedding
ἐξεικόνισε κάμινος τρόπον·
pictured furnace (the)-manner
οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους,
not for whom it-received burns young(-men)
ὡς οὐδὲ πῦρ
as neither (the)-fire
τῆς θεότητος παρθένου ἣν ὑπέδυ νηδύν·
of-the godhead of-(the)-virgin which it-entered womb
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
wherefore hymning let-us-sing
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
let-bless the creation all the Lord
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.
and let-it-exalt-above-all to all the ages

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας
Draws of-Babylon the daughter children
δορικτήτους Δαυῒδ ἐκ Σιὼν αὑτῇ·
spear-won of-David from Zion to-herself
δωροφόρους πέμπει δὲ μάγους παῖδας,
gift-bearing sends and magi children
τὴν τοῦ Δαυῒδ
the — of-David
θεοδόχον θυγατέρα λιτανεύσοντας·
God-receiving daughter to-supplicate

διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
wherefore hymning let-us-sing
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
let-bless the creation all the Lord
καὶ ὑπερυψούτω
and let-it-exalt-above-all
εἰς πάντας τοὺς αἰῶνας.
to all the ages

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς·
Instruments put-aside the grief of-song
οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών·
not for sang in bastard(-lands) the children of-Zion
Βαβυλῶνος λύει δὲ πλάνην πᾶσαν
of-Babylon looses and error all
καὶ μουσικῶν
and of-musical(-things)
ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός·
harmony from-Bethlehem having-risen Christ
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
wherefore hymning let-us-sing
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
let-bless the creation all the Lord
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.
and let-it-exalt-above-all to all the ages

Σκῦλα Βαβυλὼν τῆς βασιλίδος Σιὼν
Spoils Babylon of-the queen Zion
καὶ δορίκτητον ὄλβον ἐδέξατο·
and spear-won wealth received
θησαυροὺς Χριστὸς ἐν Σιὼν δὲ ταύτης
treasures Christ in Zion and her
καὶ βασιλεῖς
and kings
σὺν ἀστέρι ὁδηγῷ ἀστροπολοῦντας ἕλκει·
with (a)-star guide star-gazing draws
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
wherefore hymning let-us-sing
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
let-bless the creation all the Lord
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.
and let-it-exalt-above-all to all the ages

ᾠδὴ θ′
ode 9
Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον!
(A)-mystery strange I-see and paradoxical
οὐρανὸν τὸ σπήλαιον, θρόνον χερουβικὸν
heaven the cave (a)-throne cherubic
τὴν παρθένον, τὴν φάτνην χωρίον,
the virgin the manger (a)-place
ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος
in which was-laid the uncontainable(-one)
Χριστὸς ὁ θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.
Christ — God whom hymning we-magnify

Ἐξαίσιον δρόμον ὁρῶντες οἱ μάγοι.
Extraordinary (a)-course seeing the magi
ἀσυνήθους νέου ἀστέρος ἀρτιφανοῦς
of-unaccustomed new star newly-appeared
οὐρανίου ὑπερλάμποντος.
heavenly outshining
Χριστὸν βασιλέα ἐτεκμήραντο
Christ (as)-king they-judged
ἐν γῇ γεννηθέντα Βηθλεὲμ εἰς σωτηρίαν ἡμῶν.
in (the)-land born of-Bethlehem for salvation our

Νεηγενές, μάγων λεγόντων, παιδίον
New-born (the)-magi saying (a)-child
ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν; εἰς γὰρ
(a)-lord whose star appeared where is-he to for
ἐκείνου προσκύνησιν ἥκομεν,
his worship we-have-come
μανεὶς ὁ Ἡρώδης ἐταράττετο,
maddened — Herod was-troubled
Χριστὸν ἀνελεῖν ὁ θεομάχος φρυαττόμενος.
Christ to-slay the God-fighter raging

Ἠκρίβωσε χρόνον Ἡρώδης ἀστέρος,
Ascertained (the)-time Herod of-(the)-star
οὗ ταῖς ἡγεσίαις οἱ μάγοι ἐν Βηθλεὲμ
whose by-the guidance the magi in Bethlehem
προσκυνοῦσι Χριστὸν σὺν δώροις·
worship Christ with gifts
ὑφ' οὗ πρὸς πατρίδα ὁδηγούμενοι
by which to (their)-homeland being-guided
δεινὸν παιδοκτόνον ἐγκατέλιπον παιζόμενον.
(the)-dread child-killer they-left mocked

Κανὼν εἰς τὸ μέγα σάββατον

XIII · ON HOLY SATURDAY

Christ lies in the tomb, and Cosmas sings his burial and his descent. The things above and below shake at his death; the sabbath he hallowed at creation he now keeps in the grave. Habakkuk, Isaiah, and Jonah foretold him. Hades is wounded by him whose side was pierced. Joseph of Arimathea, bolder than the disciples, asks for the naked body and buries it. In the last ode Christ tells his mother not to weep; she answers that grief's sword tears her and begs him to rise. He will exalt those who magnify her, redeem Adam with Eve, and rise on the third day.

ᾠδὴ α΄
ode 1
Κύματι θαλάσσης τὸν κρύψαντα πάλαι
By-(the)-wave of-(the)-sea the(-one) having-hidden of-old
διώκτην τύραννον
(the)-pursuing tyrant

ὑπὸ γῆν ἔκρυψαν τῶν σεσωσμένων οἱ παῖδες·
under earth hid of-the(-ones) saved the children
ἀλλ᾽ ἡμεῖς ὡς αἱ νεάνιδες τῷ κυρίῳ ᾄσωμεν·
but we like the maidens to-the Lord let-us-sing
ἐνδόξως γὰρ δεδόξασται.
gloriously for he-has-been-glorified

Κύριε θεέ μου, ἐξόδιον ὕμνον
Lord God my (a)-parting hymn
καὶ ἐπιτάφιον
and funeral
ᾠδήν σοι ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι
song to-you I-will-sing to-the(-one) by-the burial your of-life to-me
τὰς εἰσόδους διανοίξαντι καὶ θανάτῳ θάνατον
the entrances having-opened and by-death death
καὶ ᾅδην θανατώσαντι.
and Hades having-put-to-death

Ἄνω σε ἐν θρόνῳ καὶ κάτω ἐν τάφῳ
Above you on (the)-throne and below in (the)-tomb
τὰ ὑπερκόσμια
the above-the-world(-things)
καὶ ὑποχθόνια κατανοοῦντα, σωτήρ μου,
and beneath-the-earth(-things) considering savior my
ἐδονεῖτο τῇ νεκρώσει σου· ὑπὲρ νοῦν ὡράθης γὰρ
were-shaken at-the deadness your beyond mind you-were-seen for
νεκρὸς ζωαρχικώτατος.
dead most-life-originating

Ἵνα σου τῆς δόξης τὰ πάντα πληρώσῃς,
That your of-the glory the all(-things) you-might-fill
καταπεφοίτηκας
you-have-gone-down
ἐν κατωτάτοις τῆς γῆς· ἀπὸ γάρ σου οὐκ ἐκρύβη
into (the)-lowest(-parts) of-the earth from for you not was-hidden
ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ· καὶ ταφεὶς φθαρέντα με
the substance my the(-one) in Adam and buried corrupted me
καινοποιεῖς, φιλάνθρωπε. 20
you-make-new lover-of-mankind

ᾠδὴ γ΄
ode 3
Σὲ τὸν ἐπὶ ὑδάτων κρεμάσαντα
You the(-one) upon waters having-hung
πᾶσαν τὴν γῆν ἀσχέτως
all the earth unsupported
ἡ κτίσις κατιδοῦσα ἐν τῷ Κρανίῳ κρεμάμενον,
the creation having-seen on the Place-of-the-Skull hanging
θαμβητικῶς συνείχετο, οὐκ ἔστιν ἅγιος
with-amazement was-gripped not there-is holy
πλήν σου, κύριε, κραυγάζουσα. 25
except you Lord crying

Σύμβολα τῆς ταφῆς σου παρέδειξας,
Signs of-the burial your you-displayed
τὰς ὁράσεις πληθύνας·
the visions having-multiplied
νῦν δὲ τὰ κρύφιά σου θεανδρικῶς διετράνωσας
now and the hidden(-things) your God-manly you-made-clear
καὶ τοῖς ἐν ᾅδου, δέσποτα, οὐκ ἔστιν ἅγιος
even to-those in Hades master not there-is holy
πλήν σου, κύριε, κραυγάζουσιν.
except you Lord crying

Ἥπλωσας τὰς ἀγκάλας καὶ ἥνωσας
You-spread-out the arms and united
τὰ τὸ πρὶν διεστῶτα·
the(-things) the before having-stood-apart
καταστολῇ δέ, σῶτερ, τῇ ἐν σινδόνι καὶ μνήματι
by-(the)-wrapping and savior the(-one) in (the)-shroud and tomb
πεπεδημένους ἔλυσας, οὐκ ἔστιν ἅγιος
fettered(-ones) you-loosed not there-is holy
πλήν σου, κύριε, κραυγάζοντας.
except you Lord crying

Μνήματι καὶ σφραγῖσιν, ἀχώρητε,
In-(a)-tomb and by-seals uncontainable(-one)
συνεσχέθης βουλήσει·
you-were-held by-will
καὶ γὰρ τὴν δύναμίν σου ταῖς ἐνεργείαις ἐγνώρισας
and for the power your by-the workings you-made-known
θεουργικῶς τοῖς μέλπουσιν· οὐκ ἔστιν ἅγιος
divinely to-those singing not there-is holy
πλήν σου, κύριε φιλάνθρωπε. 40
except you Lord lover-of-mankind

ᾠδὴ δ΄
ode 4
Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν
The on (the)-cross your divine self-emptying
προορῶν Ἀββακοὺμ ἐξεστηκὼς ἐβόα·
foreseeing Habakkuk being-amazed cried
σὺ δυναστῶν διέκοψας κράτος, ἀγαθέ,
you of-mighty(-ones) cut-through (the)-might good(-one)
ὁμιλῶν τοῖς ἐν ᾅδῃ ὡς παντοδύναμος.
conversing-with those in Hades as all-powerful

Ἑβδόμην σήμερον ἡγίασας,
(The)-seventh today you-hallowed
ἣν εὐλόγησας πρὶν καταπαύσει τῶν ἔργων·
which you-blessed formerly by-(the)-rest from-the works
παράγεις γὰρ τὰ σύμπαντα καὶ καινοποιεῖς
you-bring-forth for the all(-things) and make-new
σαββατίζων, σωτήρ μου, καὶ ἀνακτώμενος.
keeping-sabbath savior my and recovering

Ῥωμαλεότητι τοῦ κρείττονος
By-(the)-strength of-the better
ἐκνικήσαντός σου τῆς σαρκὸς ἡ ψυχή σου
having-conquered your from-the flesh the soul your
διῄρηται· σπαράττουσι ἄμφω γὰρ δεσμοὺς
is-divided they-tear both for (the)-bonds
τοῦ θανάτου καὶ ᾅδου, λόγε, τῷ κράτει σου.
of-the death and of-Hades word by-the might your

Ὁ ᾅδης, λόγε, συναντήσας σοι
— Hades word having-met you
ἐπικράνθη, βροτὸν ὁρῶν τεθεωμένον,
was-embittered (a)-mortal seeing deified
κατάστικτον τοῖς μώλωψι καὶ πανσθενουργόν,
marked with-the bruises and all-mighty-working
τῷ φρικτῷ τῆς μορφῆς δὲ διαπεφώνηκεν.
at-the dread of-the form and has-perished

ᾠδὴ ϵ΄

ode 5

Θεοφανείας σου, Χριστέ,

Of-(the)-theophany your Christ

τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης,

the(-one) toward us compassionately having-come-to-be

Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον

Isaiah light having-seen unsetting

ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· 60

from night having-risen-early cried

ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται

will-rise-up the dead and will-be-raised

οἱ ἐν τοῖς μνημείοις

those in the tombs

καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

and all those on the earth will-exult

Νεοποιεῖς τοὺς γηγενεῖς

You-make-new the earth-born

ὁ πλαστουργὸς χοϊκὸς χρηματίσας, 65

the fashioner earthy having-been-styled

καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι

and (the)-shroud and (the)-tomb show-forth

τὸ συνόν σοι, λόγε, μυστήριον·

the being-with you word mystery

ὁ εὐσχήμων δὲ βουλευτὴς τὴν τοῦ σὲ φύσαντος
the honorable and councilor the of-the you having-begotten
βουλὴν σχηματίζει,
counsel shapes
ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.
in you magnificently making-new me

Διὰ θανάτου τὸ θνητόν,
Through death the mortal
διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις·
through burial the corruptible you-change
ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα
you-make-incorrupt for most-God-befittingly
ἀπαθανατίζων τὸ πρόσλημμα·
making-immortal the assumed(-nature)
ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ εἶδε, δέσποτα,
the for flesh your corruption not saw master
οὐδὲ ἡ ψυχή σου εἰς ᾅδην
nor the soul your into Hades
ξενοπρεπῶς ἐγκαταλέλειπται.
strangely has-been-abandoned

Ἐξ ἀλοχεύτου προελθὼν
From (one)-without-labor-pains having-come-forth
καὶ λογχευθεὶς τὴν πλευράν, πλαστουργέ μου,
and having-been-pierced in-the side fashioner my
ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν
from it you-wrought the refashioning
τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος,
the(-one) — of-Eve Adam having-become
ἀφυπνώσας ὑπερφυῶς ὕπνον φυσίζωον
having-slept supernaturally (a)-sleep life-producing
καὶ ζωὴν ἐγείρας
and life having-raised
ἐξ ὕπνου καὶ τῆς φθορᾶς, ὡς παντοδύναμος.
from sleep and from-the corruption as all-powerful

ᾠδὴ ϛ΄
ode 6
Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη
He-was-held but not was-held-fast
στέρνοις κητῴοις Ἰωνᾶς·
in-breasts of-(the)-sea-monster Jonah
σοῦ γὰρ τὸν τύπον φέρων
of-you for the type bearing
τοῦ παθόντος καὶ ταφῇ δοθέντος,
of-the(-one) having-suffered and to-burial having-been-given
ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε·
as from (a)-chamber of-the beast he-leapt-up

προσεφώνει δὲ τῇ κουστωδίᾳ·
he-called-out and to-the guard
οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ
you-who guarding vain(-things) and false(-things)
ἔλεον αὐτοῖς ἐγκατελίπετε.
(the)-mercy for-yourselves you-have-abandoned

Ἀνῃρέθης, ἀλλ᾽ οὐ διῃρέθης,
You-were-slain but not were-divided
λόγε, ἧς μετέσχες σαρκός·
word of-which you-partook flesh
εἰ γὰρ καὶ λέλυταί σου
if for even has-been-dissolved your
ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους,
the temple in the time of-the passion
ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις
but even so one was (the)-hypostasis
τῆς θεότητος καὶ τῆς σαρκός σου·
of-the godhead and of-the flesh your
ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις υἱός,
in both for one you-are son
λόγος τοῦ θεοῦ, θεὸς καὶ ἄνθρωπος.
word — of-God God and man

Βροτοκτόνον, ἀλλ᾽ οὐ θεοκτόνον
Mortal-slaying but not God-slaying
ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ·
was the fall — of-Adam
εἰ γὰρ καὶ πέπονθέ σου
if for even has-suffered your
τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία,
of-the flesh the earthy essence
ἀλλ᾽ ἡ θεότης ἀπαθὴς διέμεινε·
but the Godhead impassible remained
τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν
the corruptible and your to incorruption
μετεστοιχείωσας καὶ ἀφθάρτου ζωῆς
you-transformed and of-incorruptible life
ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.
you-showed (a)-spring from resurrection

Βασιλεύει, ἀλλ᾽ οὐκ αἰωνίζει
Reigns but not lasts-forever
ᾅδης τοῦ γένους τῶν βροτῶν·
Hades over-the race of-the mortals
σὺ γὰρ τεθεὶς ἐν τάφῳ,
you for having-been-laid in (a)-tomb

κραταιέ, ζωαρχικῇ παλάμῃ
mighty(-one) with-life-originating palm
τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας
the of-the death bars you-tore-apart
καὶ ἐκήρυξας τοῖς ἀπ᾽ αἰώνων
and you-proclaimed to-those from ages
ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ,
there sleeping redemption unlying
σῶτερ γεγονὼς νεκρῶν πρωτότοκος.
savior having-become of-(the)-dead first-born

ᾠδὴ ζ΄
ode 7
Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος
Ineffable wonder the(-one) in (the)-furnace having-rescued
τοὺς ὁσίους παῖδας ἐκ φλογὸς
the holy children from (the)-flame
ἐν τάφῳ νεκρὸς ἄπνους κατατίθεται
in (a)-tomb dead breathless is-laid
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
for salvation of-us the(-ones) singing
λυτρωτά, ὁ θεὸς εὐλογητὸς εἶ.
redeemer — God blessed are-you

Τέτρωται ᾅδης, ἐν τῇ καρδίᾳ δεξάμενος
Has-been-wounded Hades in the heart having-received
τὸν τρωθέντα λόγχῃ τὴν πλευράν,
the(-one) wounded by-(a)-lance in-the side
καὶ στένει πυρὶ θείῳ δαπανώμενος
and groans by-fire divine being-consumed
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
for salvation of-us the(-ones) singing
λυτρωτά, ὁ θεὸς εὐλογητὸς εἶ.
redeemer — God blessed are-you

Ὄλβιος τάφος! ἐν ἑαυτῷ γὰρ δεξάμενος
Blessed tomb in itself for having-received
ὡς ὑπνοῦντα τὸν δημιουργόν,
as sleeping the creator
ζωῆς θησαυρὸς θείας ἀναδέδεικται
of-life treasure divine has-been-shown
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
for salvation of-us the(-ones) singing
λυτρωτά, ὁ θεὸς εὐλογητὸς εἶ.
redeemer — God blessed are-you

Νόμῳ θανόντων τὴν ἐν τῷ τάφῳ κατάθεσιν
By-(the)-law of-the-dead the in the tomb laying-down
ἡ τῶν ὅλων δέχεται ζωὴ
the of-the all receives life
καὶ τοῦτον πηγὴν δείκνυσιν ἐγέρσεως
and this(-tomb) (a)-spring shows of-rising
135 εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
for salvation of-us the(-ones) singing
λυτρωτά, ὁ θεὸς εὐλογητὸς εἶ.
redeemer — God blessed are-you

Μία ὑπῆρχεν ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος
One was the in — Hades inseparable
καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ
and in (the)-tomb and in — Eden
θεότης Χριστοῦ σὺν πατρὶ καὶ πνεύματι
Godhead of-Christ with (the)-father and spirit
140 εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
for salvation of-us the(-ones) singing
λυτρωτά, ὁ θεὸς εὐλογητὸς εἶ.
redeemer — God blessed are-you

ᾠδὴ η΄
ode 8
Ἔκστηθι φρίττων, οὐρανέ,
Be-amazed trembling heaven
καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς·
and let-be-shaken the foundations of-the earth

ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν
behold for among (the)-dead is-reckoned the(-one) in highest dwelling
καὶ τάφῳ μικρῷ ξενοδοχεῖται·
and in-(a)-tomb small is-lodged-as-a-guest
ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε,
whom children bless priests hymn
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
people exalt-above-all to all the ages

Λέλυται ἄχραντος ναός,
Has-been-destroyed (the)-spotless temple
τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν·
the fallen and raises-up-with(-it) tent
Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος ὁ ἐν ὑψίστοις οἰκῶν
Adam for to-the former (the)-second the(-one) in highest dwelling
κατῆλθε μέχρις ᾅδου ταμείων·
came-down as-far-as of-Hades (the)-storerooms
ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε,
whom children bless priests hymn
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
people exalt-above-all to all the ages

Πέπαυται τόλμα μαθητῶν,
Has-ceased (the)-daring of-(the)-disciples
Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ·
of-Arimathea and excels Joseph
νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος τὸν ἐπὶ πάντων θεὸν
dead for and naked beholding the over all God

αἰτεῖται καὶ κηδεύει κραυγάζων·
he-asks-for and buries(-him) crying
οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε,
you children bless priests hymn
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
people exalt-above-all to all the ages

Ὢ τῶν θαυμάτων τῶν καινῶν!
O the wonders the new
ὢ ἀγαθότητος! ὢ ἀφράστου ἀνοχῆς!
O goodness O ineffable forbearance
ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται ὁ ἐν ὑψίστοις οἰκῶν
willingly for under earth is-sealed the(-one) in highest dwelling
καὶ πλάνος θεὸς συκοφαντεῖται·
and (a)-deceiver God is-slandered
ὃν παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε,
whom children bless priests hymn
λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
people exalt-above-all to all the ages

ᾠδὴ θ′
ode 9
Μὴ ἐποδύρου μοι, μῆτερ, καθορῶσα ἐν τάφῳ,
Not lament for-me mother beholding in (the)-tomb
ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες υἱόν·
whom in womb without seed you-conceived son

ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι
I-will-rise for and will-be-glorified
καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς θεὸς
and I-will-exalt in glory unceasingly as God
τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.
those in faith and longing you magnifying

Ἐπὶ τῷ ξένῳ σου τόκῳ τὰς ὠδῖνας φυγοῦσα
At the strange your childbirth the pangs having-escaped
ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε υἱέ·
supernaturally I-was-blessed beginningless son
νῦν δέ σε, θεέ μου, ἄπνουν ὁρῶσα νεκρόν,
now but you God my breathless seeing dead
τῇ ῥομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς·
by-the sword of-the grief I-am-torn terribly
ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσομαι.
but rise-up so-that I-may-be-magnified

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου
Earth me covers willing but tremble of-Hades
οἱ πυλωροί, ἠμφιεσμένον βλέποντες στολὴν
the gatekeepers clothed seeing (in-a)-robe
ᾑμαγμένην, μῆτερ, τῆς ἐκδικήσεως·
bloodied mother of-the vengeance
τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ πατάξας ὡς θεὸς
the enemies on (the)-cross for having-struck as God
ἀναστήσομαι αὖθις καὶ μεγαλύνω σε.
I-will-rise again and magnify you

Ἀγαλλιάσθω ἡ κτίσις, εὐφραινέσθωσαν πάντες
Let-exult the creation let-rejoice all
οἱ γηγενεῖς· ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης·
the earth-born the for enemy has-been-despoiled Hades
μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν·
with myrrh women let-them-come-to-meet(-me)
τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦμαι παγγενῆ
— Adam with — Eve I-redeem all-the-race
185 καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.
and on-the third day I-will-rise-up

Κανὼν εἰς τὴν Πεντηκοστήν

XIV · ON PENTECOST

Christ sends the Comforter, as he promised, and the grace the law and the prophets foretold is poured out. The Spirit joins into one harmony the speech once divided, rests on the apostles as tongues of fire, and makes them speak in strange tongues, which unbelievers take for drunkenness. Cosmas likens himself to Jonah on the sea, confesses the Trinity, and recalls the burning bush and the zealot's fiery chariot; all nations hear the apostles in their own tongues.

ᾠδὴ α΄
ode 1
Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν
In-(the)-sea covered Pharaoh with chariots
ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι·
the(-one) crushing wars with (a)-high arm
ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.
let-us-sing to-him for he-has-been-glorified

Ἔργῳ, ὡς πάλαι τοῖς μαθηταῖς ἐπηγγείλω,
In-deed as of-old to-the disciples you-promised
τὸ παράκλητον πνεῦμα ἐξαποστείλας, Χριστέ,
the comforter spirit having-sent-forth Christ
ἔλαμψας τὸ φῶς κόσμῳ, φιλάνθρωπε.
you-shone the light to-(the)-world lover-of-mankind

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ προφήταις
By-(the)-law the of-old proclaimed and by-prophets
ἐπληρώθη· τοῦ θείου πνεύματος σήμερον
was-fulfilled of-the divine spirit today
πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.
on-all for faithful grace has-been-poured

ᾠδὴ γ΄
ode 3
Τὴν ἐξ ὕψους δύναμιν, τοῖς μαθηταῖς, Χριστέ,
The from height power to-the disciples Christ
ἕως ἂν ἐνδύσησθε, ἔφης,
until — you-put-on you-said
καθίσατε ἐν Ἰερουσαλήμ·
sit in Jerusalem
ἐγὼ δὲ ὡς ἐμὲ παράκλητον ἄλλον,
I and as me comforter another
πνεῦμα τὸ ἐμόν τε καὶ πατρὸς ἀποστελῶ,
spirit the my both and of-(the)-father I-will-send
ἐν ᾧ στερεωθήσεσθε.
in whom you-will-be-made-firm

Ἡ τοῦ θείου πνεύματος ἐπιδημήσασα
The of-the divine spirit having-come-to-dwell
δύναμις τὴν μερισθεῖσαν πάλαι
power the divided of-old
φωνὴν κακῶς ὁμονοησάντων
speech evilly of-(those)-having-been-of-one-mind
εἰς μίαν ἁρμονίαν θείως συνῆψε,
into one harmony divinely joined
γνῶσιν συνετίζουσα πιστοὺς τῆς Τριάδος,
with-knowledge making-wise (the)-faithful of-the Trinity
ἐν ᾗ ἐστερεώθημεν.
in which we-have-been-made-firm

ᾠδὴ δ΄
ode 4
Κατανοῶν ὁ προφήτης τὴν ἐπ᾽ ἐσχάτων σου, Χριστέ,
Considering the prophet the at (the)-last your Christ
ἔλευσιν ἀνεβόα·
coming cried-out
τὴν σὴν εἰσακήκοα, κύριε, δυναστείαν, ὅτι πάντας
the your I-have-heard Lord might for all
τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.
for-the to-save the anointed your you-have-come

Ὁ ἐν προφήταις λαλήσας καὶ διὰ νόμου κηρυχθεὶς
The(-one) in prophets having-spoken and through law proclaimed
πρώην τοῖς ἀτελέσι
formerly to-the imperfect
θεὸς ἀληθὴς ὁ παράκλητος τοῖς τοῦ λόγου ὑπηρέταις
God true the comforter to-the of-the word servants
καὶ μάρτυσι γνωρίζεται σήμερον.
and witnesses is-made-known today

Σῆμα θεότητος φέρον τοῖς ἀποστόλοις ἐν πυρὶ
(A)-sign of-godhead bearing to-the apostles in fire
πνεῦμα κατεμερίσθη
(the)-spirit was-distributed
καὶ ξέναις ἐν γλώσσαις ἐνέφηνεν, ὡς πατρόθεν θεῖον σθένος
and strange in tongues showed-forth as from-the-father divine might
ἐρχόμενόν ἐστιν αὐτοκέλευστον.
coming it-is self-bidden

ᾠδὴ ϵ΄
ode 5
Τὸ διὰ τὸν φόβον σου ληφθέν, κύριε,
The because-of the fear your conceived Lord
ἐν γαστρὶ τῶν προφητῶν καὶ κυηθὲν ἐπὶ γῆς
in (the)-womb of-the prophets and brought-forth upon earth
πνεῦμα σωτηρίας
spirit of-salvation

ἀποστολικὰς καρδίας κτίζει καθαρὰς
apostolic hearts creates pure
καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται·
and in the faithful upright is-renewed
φῶς γὰρ καὶ εἰρήνη διότι τὰ σὰ προστάγματα.
light for and peace since the your commandments

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον
The having-come-upon strength today
αὕτη πνεῦμα ἀγαθόν, πνεῦμα σοφίας θεοῦ,
this(-is) spirit good spirit of-wisdom of-God
πνεῦμα ἐκ πατρὸς
spirit from (the)-father
ἐκπορευθὲν καὶ δι᾽ υἱοῦ πιστοῖς ἡμῖν πεφηνός,
having-proceeded and through (the)-son to-faithful us having-appeared
μεταδοτικὸν ἐν οἷς κατοικίζεται
imparting in whom it-dwells
φύσει τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.
by-nature of-the in which it-is-beheld holiness

ᾠδὴ ϛ΄
ode 6
Ναυτιῶν τῷ σάλῳ τῶν βιωτικῶν μεληµάτων,
Being-seasick in-the surge of-the worldly cares
συμπλόοις ποντούμενος ἁμαρτίαις
with-fellow-voyaging tossed sins

καὶ ψυχοφθόρῳ θηρὶ προσριπτόμενος,
and to-(the)-soul-destroying beast being-thrown
ὡς ὁ Ἰωνᾶς, Χριστέ, βοῶ σοι·
like — Jonah Christ I-cry to-you
ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.
from (the)-death-bearing me depth bring-up

Ἐκ τοῦ πνεύματός σου σάρκα ἐπὶ πᾶσαν, ὡς εἶπας,
From the spirit your flesh upon all as you-said
πλουσίως ἐξέχεες καὶ ἐπλήσθη
richly you-poured-out and was-filled
τῆς σῆς ἡ σύμπασα γνώσεως, κύριε·
with-the your the whole knowledge Lord
ὅτι ἐκ πατρὸς ἀπεριγράπτως
for from (the)-father uncircumscribably
ἔφυς καὶ τὸ πνεῦμα ἀμερίστως πρόεισιν.
you-were-born and the spirit undividedly proceeds

ᾠδὴ ζ΄
ode 7
Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες
The into (the)-furnace of-the fire having-been-thrown
ὅσιοι παῖδες
holy children

τὸ πῦρ εἰς δρόσον μετέβαλον
the fire into dew changed
διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες·
through the hymnody thus crying
εὐλογητὸς εἶ, κύριε, ὁ θεὸς τῶν πατέρων ἡμῶν.
blessed are-you Lord — God of-the fathers our

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα
Declaiming the divine mighty-works
τῶν ἀποστόλων
the apostles
τοῦ πνεύματος ἡ ἐνέργεια
of-the spirit the working
ἐνομίζετο μέθη τοῖς ἀπιστοῦσι,
was-thought drunkenness by-those disbelieving
δι' ἧς Τριὰς κεκήρυκται εἷς θεὸς τῶν πατέρων ἡμῶν.
through which (the)-Trinity has-been-proclaimed one God of-the fathers our

Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως
The undivided nature in-orthodox-faith
θεολογοῦμεν,
we-confess-as-God
θεὸν πατέρα τὸν ἄναρχον,
God (the)-father the beginningless
τῆς αὐτῆς ἐξουσίας λόγον καὶ πνεῦμα,
of-the same authority word and spirit
εὐλογητὸς εἶ, κράζοντες, ὁ θεὸς τῶν πατέρων ἡμῶν.
blessed are-you crying — God of-the fathers our

ᾠδὴ η΄
ode 8

Ἀφλέκτως πυρὶ ἐν Σινᾷ προσομιλοῦσα
Without-burning in-fire on Sinai conversing
βάτος θεὸν ἐγνώρισε
(a)-bush God made-known
τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ·
to-the slow-tongued and hard-of-speech Moses
καὶ παῖδας ζῆλος θεοῦ
and (the)-children zeal for-God
τοὺς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε·
the unconsumed by-the fire hymn-singers showed
πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε
all the works the Lord hymn
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
and exalt-above-all to all the ages

Ζωτικῆς ἐξ ὕψους βιαίας φερομένης
Of-life-giving from height violent being-borne
ἠχητικῶς τοῦ πνεύματος
resoundingly of-the spirit
τοῦ παναγίου ἁλιεῦσι πνοῆς
the all-holy to-fishermen breath
πυρίνων εἴδει γλωσσῶν,
of-fiery in-(the)-form tongues

τὰ μεγαλεῖα τοῦ θεοῦ ἐρρητορεύετο·
the mighty-works — of-God was-declaimed
πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε
all the works the Lord hymn
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
and exalt-above-all to all the ages

Ὡς μὴ θιγομένῳ προσβαίνοντες ἐν ὄρει
As not to-(a)-touched(-one) approaching on (the)-mountain
μὴ πεφρικότες πῦρ δειματοῦν
not dreading fire terrifying
δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιών,
come and let-us-stand on the mountain Zion
ἐν πόλει ζῶντος θεοῦ,
in (the)-city of-(the)-living God
πνευματοφόροις μαθηταῖς νῦν συγχορεύοντες·
with-spirit-bearing disciples now dancing-together
πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε
all the works the Lord hymn
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
and exalt-above-all to all the ages

ᾠδὴ θ΄
ode 9
Μὴ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα
Not of-the corruption because-of experience having-conceived
καὶ παντεχνήμονι λόγῳ σάρκα δανείσασα,
and to-(the)-all-skilled word flesh having-lent

μῆτερ ἀπείρανδρε, παρθένε θεοτόκε,
mother husbandless virgin God-bearer
δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου
receptacle of-the unbearable place of-the infinite
πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.
fashioner your you we-magnify

Ἐπιπαφλάζοντος πάλαι πυρίνου ἅρματος
Roaring of-old (a)-fiery chariot
ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος
the zealot and fire-breathing rejoicing riding
τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου
the now having-shone-forth inspiration showed
ἐξ ὕψους ἀποστόλοις, ὑφ᾽ ἧς καταλαμφθέντες
from height to-(the)-apostles by which having-been-illumined
τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.
the Trinity to-all they-made-known

Νόμου τῶν φύσεων δίχα ξένον ἠκούετο·
Of-(the)-law of-the natures without strange(-thing) was-heard
τῶν μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης,
of-the disciples of-the one for voice resounding
πνεύματος χάριτι ποικίλως ἐνηχοῦντο
of-(the)-spirit by-grace variously they-were-made-to-hear
λαοί, φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα
peoples tribes and tongues the divine mighty-works
τῆς Τριάδος γνῶσιν μυούμενοι.
of-the Trinity knowledge being-initiated-into

JOHN OF DAMASCUS

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ ΚΑΝΟΝΕΣ

Canons

Κανὼν ἰαμβικὸς εἰς τὴν Χριστοῦ γέννησιν

I · AN IAMBIC CANON ON THE NATIVITY

John of Damascus sings the Nativity in iambic trimeters whose first letters spell a verse acrostic. The master who once made a dry road through the sea is born of a virgin to open the road to heaven. The burning bush prefigured her, the star led the Magi, and the shepherds saw angels singing. Sprung from Abraham's loins, Christ came to heal the serpent's poison and raise those fallen in darkness; the children unburned in the furnace prefigure the virgin's womb. John asks the virgin, the closed gate through which the Word appeared, for strength to sing and grace to venerate his glory.

ᾠδὴ α΄

ode 1

Ἔσωσε λαὸν θαυματουργῶν δεσπότης,

Saved (the)-people working-wonders (the)-master

Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·

Liquid of-(the)-sea wave having-made-dry-land of-old

Ἑκὼν δὲ τεχθεὶς ἐκ κόρης, τρίβον βατὴν

Willingly and born from (a)-maiden (a)-path passable

Πόλου τίθησιν ἡμῖν, ὃν κατ᾽ οὐσίαν

Of-(the)-sky he-makes for-us whom in essence

Ἴσόν τε πατρὶ καὶ βροτοῖς δοξάζομεν. 5

Equal both to-(the)-father and to-mortals we-glorify

Ἤνεγκε γαστὴρ ἡγιασμένη λόγον,
Bore (a)-womb hallowed (the)-word
Σαφῶς ἀφλέκτῳ ζωγραφουμένη βάτῳ,
Clearly by-(the)-unburned pictured bush
Μιγέντα μορφῇ τῇ βροτησίᾳ θεόν,
Mingled with-(the)-form the mortal God
Εὔας τάλαιναν νηδὺν ἀρᾶς τῆς πάλαι
Of-Eve (the)-wretched womb from-(the)-curse the of-old
Λύοντα πικρᾶς, ὃν βροτοὶ δοξάζομεν.
Loosing bitter whom mortals we-glorify

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου λόγον,
Showed (a)-star the before (the)-sun word
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν, μάγοις,
Having-come to-end the sin to-(the)-magi
Σαφῶς πενιχρὸν εἰς σπέος, τὸν συμπαθῆ
Clearly poor into (a)-cave the compassionate(-one)
Σὲ σπαργάνοις ἑλικτόν, ὃν γεγηθότες
You in-swaddling-clothes wrapped whom rejoicing
Ἴδον τὸν αὐτὸν καὶ βροτὸν καὶ κύριον.
They-saw the same both mortal and Lord

ᾠδὴ γ΄
ode 3
Νεῦσον πρὸς ὕμνους οἰκετῶν, εὐεργέτα,
Incline to (the)-hymns of-(your)-servants benefactor
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν,
Of-(the)-enemy humbling the uplifted brow

Φέρων τε, παντεπόπτα, τῆς ἁμαρτίας
Bringing and all-seeing(-one) of-the sin
Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,
Above unshaken established
Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.
Blessed(-one) singers on-the foundation of-the faith

Νύμφης πανάγνου τὸν πανόλβιον τόκον
Of-(the)-bride all-pure the all-blessed offspring
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένος χορὸς
To-see beyond mind having-been-deemed-worthy (the)-band
Ἄγραυλος ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ
Dwelling-in-the-field was-shaken at-the strange manner
Τάξιν μελῳδοῦσάν τε τῶν ἀσωμάτων
(A)-rank singing and of-the bodiless(-ones)
Ἄνακτα Χριστόν, ἀσπόρως σαρκούμενον.
(The)-king Christ seedlessly being-made-flesh

Ὕψους ἀνάσσων οὐρανῶν, εὐσπλαγχνίᾳ
Of-(the)-height ruling of-(the)-heavens in-compassion
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου κόρης,
Becomes like us from (an)-unwedded maiden
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ' ἐπ' ἐσχάτων
Immaterial being the before but at (the)-last
Λόγος παχυνθεὶς σαρκί, τὸν πεπτωκότα
Word thickened in-flesh the(-one) having-fallen
Ἵνα πρὸς αὑτὸν ἑλκύσῃ πρωτόπλαστον.
That to himself he-might-draw first-formed

Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι
Of-(the)-race mortal the refashioning of-old
Ἄιδων προφήτης Ἀββακοὺμ προμηνύει,
Singing (the)-prophet Habakkuk foretells
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·
To-see ineffably having-been-deemed-worthy the type
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς παρθένου
(A)-new babe for from (the)-mountain of-the virgin
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.
Came-forth of-peoples for (the)-refashioning word

ᾠδὴ δ΄
ode 4
Ἴσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Equal you-came-forth to-the mortals willingly
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ παρθένου,
Most-high(-one) flesh having-taken-on from (a)-virgin
Ἰὸν καθᾶραι τῆς δρακοντείας κάρας,
(The)-venom to-cleanse of-the dragon's head
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Leading all to (the)-light life-bearing
Θεὸς πεφυκώς, ἐκ πυλῶν ἀνηλίων.
God being from gates sunless

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Nations the formerly in-the corruption sunk
Ὄλεθρον ἄρδην δυσμενοῦς πεφευγότα,
Destruction utterly of-(the)-enemy having-escaped
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Raise hands with clappings of-hymns
Μόνον σέβοντες Χριστὸν ὡς εὐεργέτην,
Only revering Christ as benefactor
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον. 45
In the(-things) like us compassionately having-arrived

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαί, παρθένε,
From-(the)-root having-sprung — of-Jesse virgin
Ὅρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
(The)-bounds you-passed of-the mortals of-the essence
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων λόγον,
Of-(the)-Father having-borne the before ages word
Ὡς ηὐδόκησεν αὐτὸς ἐσφραγισμένην
As was-well-pleased he-himself sealed
Νηδὺν διελθεῖν τῇ κενώσει τῇ ξένῃ. 50
(The)-womb to-pass-through by-the self-emptying the strange

ᾠδὴ ϵ΄
ode 5
Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης
From (the)-night of-(the)-works darkened of-error
Ἱλασμὸν ἡμῖν, Χριστέ, τοῖς ἐγρηγόρως
(A)-propitiation for-us Christ to-those wakefully

Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Now to-you performing (a)-hymn as to-(a)-benefactor
Ἔλθοις πορίζων εὐχερῆ τε τὴν τρίβον,
May-you-come providing easy and the path
Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.
By which running-back we-may-find glory

Ἀπηνὲς ἔχθος τὸ πρὸς αὐτὸν δεσπότης
(The)-harsh enmity the(-one) toward himself (the)-master
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ
Having-cut through-and-through of-flesh in (the)-coming
Ἵνα κρατοῦντος ὤλεσε θυμοφθόρου,
Where ruling he-destroyed spirit-corrupter
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις,
(The)-world joining to-the immaterial essences
Τιθεὶς προσηνῆ τὸν τεκόντα τῇ κτίσει.
Making gentle the(-one) having-begotten to-the creation

Ὁ λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος
The people saw the formerly darkened
Μεθ' ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας·
By day (the)-light of-the above beacon
Ἔθνη θεῷ δὲ κλῆρον υἱὸς προσφέρει,
Nations to-God and (as)-inheritance (the)-son brings
Νέμων ἐκεῖσε τὴν ἀπόρρητον χάριν,
Distributing there the ineffable grace
Οὗ πλεῖστον ἐξήνθησεν ἡ ἁμαρτία.
Where most blossomed the sin

ᾠδὴ ϛ΄

ode 6

Ναίων Ἰωνᾶς ἐν μυχοῖς θαλαττίοις

Dwelling Jonah in (the)-recesses of-the-sea

Ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέσαι·

To-come begged and (the)-storm to-ward-off

Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει,

Pierced I and of-the tyrant by-(the)-arrow

Χριστέ, προσαυδῶ τὸν κακῶν ἀναιρέτην

Christ I-call-upon the of-evils destroyer

Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας. 70

More-quickly to-come you than-the my sloth

Ὃς ἦν ἐν ἀρχῇ πρὸς θεὸν θεὸς λόγος

Who was in (the)-beginning with God God word

Νυνὶ κρατύνει, μὴ σθένουσαν τὴν πάλαι

Now strengthens not being-strong the of-old

Ἰδὼν φυλάξαι, τὴν καθ᾽ ἡμᾶς οὐσίαν,

Having-seen to-guard the like us essence

Καθεὶς ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,

Having-let-down himself by-(a)-second communion

Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν. 75

Again showing(-it) from-the passions free

Ἵκται δι᾽ ἡμᾶς Ἀβραὰμ ἐξ ὀσφύος,
He-has-come because-of us of-Abraham from (the)-loins
Λυγρῶς πεσόντας ἐν ζόφῳ τῶν πταισμάτων
Grievously fallen in (the)-gloom of-the faults
Υἱοὺς ἐγεῖραι τῶν κάτω νενευκότων,
(The)-sons to-raise of-the(-ones) below having-bowed
Ὁ φῶς κατοικῶν, καὶ φάτνην παρ᾽ ἀξίαν
The(-one) light inhabiting and (a)-manger beyond worth
Νῦν εὐδοκήσας εἰς βροτῶν σωτηρίαν.
Now having-been-well-pleased for of-mortals salvation

ᾠδὴ ζ΄
ode 7
Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ
By-the of-(the)-all-king they-belittled longing
Ἄπληστα θυμαίνοντος ἠγκιστρωμένοι
Dreadfully raging having-been-hooked
Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν,
(The)-children of-(the)-tyrant godless tongue-wagging
Οἷς εἴκαθε πῦρ ἄσπετον, τῷ δεσπότῃ
To-whom yielded fire unspeakable to-the master
Λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.
They-say to ages blessed are-you

Ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει,
(The)-servants indeed madly burns-up
Σώζει δὲ παφλάζουσα ῥοιζηδὸν νέους,
Saves but bubbling with-a-rush (the)-young(-men)
Ταῖς ἑπταμέτροις καύσεσι πυργουμένη,
With-the seven-measured burnings towering
Οὓς ἔστεφε φλόξ, ἄφθονον τοῦ κυρίου
Whom crowned (the)-flame abundant of-the Lord
Νέμοντος εὐσεβείας εἵνεκα δρόσον.
Granting of-piety for-the-sake (the)-dew

Ἀρωγὲ Χριστέ, τὸν βροτοῖς ἐναντίον,
Helper Christ the to-mortals opposed
Πρόβλημα τὴν σάρκωσιν ἀρρήτως ἔχων,
(As)-shield the incarnation ineffably having
Ἴσχυνας, ὄλβον τῆς θεώσεως φέρων,
You-shamed (the)-wealth of-the deification bearing
Μορφούμενος νῦν· ἧστινος δι᾽ ἐλπίδα
Being-formed now of-which because-of hope
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.
From-above into (the)-recesses we-came of-gloom

Τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην,
The savage-looking intemperately exulting
Ἄσεμνα βακχεύσασαν, ἐξοιστρουμένην
Indecently having-reveled frenzied
Κόσμου καθεῖλες πανσθενῶς ἁμαρτίαν·
Of-(the)-world you-brought-down all-powerfully (the)-sin
Οὓς εἵλκυσε πρίν, σήμερον τῶν ἀρκύων
Whom it-dragged formerly today from-the nets
Σώζεις δὲ σαρκωθεὶς ἑκών, εὐεργέτα.
You-save and having-been-made-flesh willingly benefactor

ᾠδὴ η΄
ode 8
Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης
(The)-womb without-burning picture of-(the)-maiden
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι
The of-the old being-burned young(-men)
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην·
Supernaturally conceiving sealed
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ
Both and doing by-wonder-working one
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.
Peoples to (the)-hymn raises-up (the)-grace

Λύμην φυγοῦσα τοῦ θεοῦσθαι τῇ πλάνῃ,
(The)-defilement having-escaped of-the being-deified by-the error
Ἄλληκτον ὑμνεῖ τὸν κενούμενον λόγον
Unceasingly hymns the self-emptying word
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Youthfully all with trembling creation
Ἄδοξον εὖχος δειματουμένη φέρειν
Inglorious (a)-boast fearing to-bear
Ῥευστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.
Fluid having-been even-if wisely it-endured

Ἥκεις, πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων
You-come (the)-wanderer to (the)-pasture turning
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λόφων
The flower-producing from desert hills
Ἡ τῶν ἐθνῶν ἔγερσις ἀνθρώπων φύσιν,
The of-the nations rising of-men (the)-nature
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι,
(The)-might violent of-the mortal-slayer to-quench
Ἀνὴρ φανείς τε καὶ θεὸς προμηθείᾳ.
Man having-appeared both and God by-providence

ᾠδὴ θ′
ode 9
Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
To-love indeed for-us as (a)-safe(-thing) through-fear
Ῥᾷον σιωπήν· τῷ πόθῳ δέ, παρθένε,
Easier (is)-silence by-the longing but virgin

Ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους
Hymns to-weave intensely sharpened
Ἐργώδες ἐστιν, ἀλλὰ καί, μῆτερ, σθένος,
Laborious it-is but even mother strength
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.
As-much-as is the choice give

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Types unlit and shadows passed-away
Ὦ μῆτερ ἁγνή, τοῦ λόγου δεδορκότες
O mother pure of-the word having-beheld
Νέον φανέντος ἐκ πύλης κεκλεισμένης,
Newly having-appeared from (a)-gate closed
Δοξούμενοί τε τῆς ἀληθείας φάος
Being-glorified and of-the truth (with)-light
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.
Deservedly your we-bless womb

Πόθου τετευχὼς καὶ θεοῦ παρουσίας
Of-longing having-obtained and of-God's coming
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος
The Christ-delighting people having-been-deemed-worthy
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας
Now prays of-the regeneration
Ὡς ζωοποιοῦ· τὴν χάριν δέ, παρθένε,
As life-giving the grace but virgin
Νέμοις, ἄχραντε, προσκυνῆσαι τὸ κλέος.
May-you-grant spotless(-one) to-worship the glory

Κανὼν εἰς τὴν κυριακὴν τοῦ Πάσχα

IV · ON EASTER SUNDAY

The day of resurrection: let the peoples shine, for Christ has brought them over from death to life. Heaven, earth, and the underworld keep the feast. Christ is the new drink from the tomb, the true lamb and Pascha, the sun of righteousness. The women bring myrrh and find the risen Lord, and the faithful bring hymns instead. He came down to the depths, broke the eternal bars, and rose like Jonah from the whale. This is the queen of days. John bids the new Jerusalem shine and the Mother of God rejoice.

ᾠδὴ α΄

ode 1

Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί·

Of-resurrection day let-us-be-made-radiant peoples

πάσχα κυρίου, πάσχα·

Pascha of-(the)-Lord Pascha

ἐκ γὰρ θανάτου πρὸς ζωὴν καὶ ἐκ γῆς πρὸς οὐρανὸν

from for death to life and from earth to heaven

Χριστὸς ὁ θεὸς

Christ — God

ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας. 5

us has-brought-over (the)-victory-song singing

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα
Let-us-purify the senses and we-will-see
τῷ ἀπροσίτῳ φωτὶ
by-the unapproachable light
τῆς ἀναστάσεως Χριστὸν ἐξαστράπτοντα, καὶ
of-the resurrection Christ flashing-forth and
«χαίρετε» φάσκοντος
rejoice saying
τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.
clearly we-will-hear (the)-victory-song singing

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν,
Heavens indeed worthily let-rejoice
γῆ δὲ ἀγαλλιάσθω·
earth and let-exult
ἑορταζέτω δὲ κόσμος ὁρατός τε ἅπας
let-keep-feast and (the)-world visible both all
καὶ ἀόρατος·
and invisible
Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.
Christ for has-been-raised gladness eternal

ᾠδὴ γ΄

ode 3

Δεῦτε πόμα πίωμεν καινὸν

Come (a)-drink let-us-drink new

οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,

not from (a)-rock barren wonderfully-made

ἀλλ᾽ ἀφθαρσίας πηγὴν ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,

but of-incorruption (the)-spring from (the)-tomb having-rained of-Christ

ἐν ᾧ στερεούμεθα.

in whom we-are-made-firm

Νῦν πάντα πεπλήρωται φωτός,

Now all(-things) have-been-filled with-light

οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια·

heaven both and earth and the(-things) beneath-the-earth

ἑορταζέτω δὲ πᾶσα κτίσις τὴν ἔγερσιν Χριστοῦ,

let-keep-feast and all creation the rising of-Christ

ἐν ᾧ στερεούμεθα.

in whom we-are-made-firm

Χθὲς συνεθαπτόμην σοι, Χριστέ,

Yesterday I-was-buried-with you Christ

συνεγείρομαι σήμερον ἀναστάντι σοι·

I-am-raised-with(-you) today having-risen you

συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον, σωτήρ,

I-was-crucified-with you yesterday you-yourself me glorify-with(-you) savior

ἐν τῇ βασιλείᾳ σου.

in the kingdom your

ᾠδὴ δ΄

ode 4

Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακοὺμ

Upon the divine watch the God-speaking Habakkuk

στήτω μεθ᾽ ἡμῶν καὶ δεικνύτω

let-him-stand with us and let-him-show

φαεσφόρον ἄγγελον διαπρυσίως λέγοντα·

(a)-light-bearing angel clearly saying

σήμερον σωτηρία τῷ κόσμῳ,

today salvation to-the world

ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

for rose Christ as all-powerful

Ἄρσην μὲν ὡς διανοίξας τὴν παρθενεύουσαν νηδὺν

(A)-male indeed as having-opened the virgin womb

πέφηνε Χριστός· ὡς βροτὸς δὲ

has-appeared Christ as mortal and

ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ ὡς ἄγευστος

(a)-lamb he-is-called spotless and as untasting

κηλῖδος τὸ ἡμέτερον πάσχα,

of-blemish the our Pascha

καὶ ὡς θεὸς ἀληθὴς τέλειος λέλεκται.

and as God true perfect he-is-called

Ὡς ἐνιαύσιος ἀμνὸς ὁ εὐλογούμενος ἡμῖν
As (a)-yearling lamb the blessed for-us
στέφανος Χριστὸς ἑκουσίως
crown Christ willingly
ὑπὲρ πάντων τέθυται πάσχα τὸ καθαρτήριον,
for all has-been-sacrificed (the)-Pascha the cleansing
καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος
and again from the tomb beautiful
δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.
of-righteousness for-us shone (the)-sun

Ὁ θεοπάτωρ μὲν Δαυῒδ πρὸ τῆς σκιώδους κιβωτοῦ
The ancestor-of-God indeed David before the shadowy ark
ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ
leapt dancing the people but
τοῦ θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν
— of-God the holy the of-the symbols fulfillment
ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως,
seeing let-us-rejoice divinely
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.
for rose Christ as all-powerful

ᾠδὴ ϵ΄

ode 5

Ὀρθρίσωμεν ὄρθρου βαθέος

Let-us-rise-early in-(the)-dawn deep

καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ δεσπότῃ,

and instead-of myrrh the hymn we-will-offer to-the master

καὶ Χριστὸν ὀψόμεθα δικαιοσύνης ἥλιον,

and Christ we-will-see of-righteousness (the)-sun

πᾶσι ζωὴν ἀνατέλλοντα.

to-all life making-rise

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν

The immeasurable your compassion

οἱ ταῖς τοῦ ᾅδου σειραῖς συνεχόμενοι δεδορκότες

those by-the — of-Hades chains held having-beheld

πρὸς τὸ φῶς ἠπείγοντο, Χριστέ, ἀγαλλομένῳ ποδί,

to the light hastened Christ with-exulting foot

πάσχα κροτοῦντες αἰώνιον.

(the)-Pascha applauding eternal

Προσέλθωμεν λαμπαδηφόροι

Let-us-approach lamp-bearing

τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος ὡς νυμφίῳ,

to-the coming-forth Christ from the tomb as to-(a)-bridegroom

καὶ συνεορτάσωμεν ταῖς φιλεόρτοις τάξεσι

and let-us-keep-feast-with the festival-loving ranks

πάσχα θεοῦ τὸ σωτήριον.

(the)-Pascha of-God the saving

ᾠδὴ ϛ΄
ode 6

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς
You-came-down into the lowest(-parts) of-the earth
καὶ συνέτριψας μοχλοὺς αἰωνίους κατόχους
and you-crushed bars eternal holding
πεπεδημένων, Χριστέ, καὶ τριήμερος
of-(the)-fettered Christ and on-the-third-day
ὡς ἐκ κήτους Ἰωνᾶς ἐξανέστης τοῦ τάφου.
as from (the)-sea-monster Jonah you-rose from-the tomb

Φυλάξας τὰ σήμαντρα σῶα, Χριστέ,
Having-kept the seals whole Christ
ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς παρθένου
you-were-raised from-the tomb the(-one) the keys of-the virgin
μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου,
not having-harmed in the birth your
καὶ ἀνέῳξας ἡμῖν παραδείσου τὰς πύλας.
and you-opened to-us of-paradise the gates

Σωτήρ μου τὸ ζῶν τε καὶ ἄθυτον
Savior my the living both and unsacrificed
ἱερεῖον ὡς θεὸς σεαυτὸν ἑκουσίως
victim as God yourself willingly
προσαγαγὼν τῷ πατρὶ συνανέστησας
having-brought to-the father you-raised-with(-you)
παγγενῆ τὸν Ἀδάμ, ἀναστὰς ἐκ τοῦ τάφου.
all-the-race — Adam having-risen from the tomb

ᾠδὴ ζ΄

ode 7

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος

The(-one) children from (the)-furnace having-rescued

γενόμενος ἄνθρωπος

having-become man

πάσχει ὡς θνητὸς καὶ διὰ πάθους τὸ θνητὸν

suffers as mortal and through suffering the mortal

ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,

of-incorruption clothes-in (the)-comeliness

ὁ μόνος εὐλογητὸς τῶν πατέρων

the only blessed of-the fathers

θεὸς καὶ ὑπερένδοξος.

God and more-than-glorious

Γυναῖκες μετὰ μύρων θεόφρονες

Women with myrrh God-minded

ὀπίσω σου ἔδραμον·

after you ran

ὃν δὲ ὡς θνητὸν μετὰ δακρύων ἐζήτουν,

whom and as mortal with tears they-sought

προσεκύνησαν χαίρουσαι ζῶντα θεόν,

they-worshiped rejoicing living God

καὶ πάσχα τὸ μυστικὸν σοῖς, Χριστέ,

and (the)-Pascha the mystical to-your Christ

μαθηταῖς εὐηγγελίσαντο.

disciples they-announced

Θανάτου ἑορτάζομεν νέκρωσιν,
Of-death we-celebrate (the)-deadening
ᾅδου τὴν καθαίρεσιν,
of-Hades the destruction
ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν,
of-another life the eternal (the)-first-fruit
καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον,
and leaping we-hymn the cause
τὸν μόνον εὐλογητὸν τῶν πατέρων
the only blessed of-the fathers
θεὸν καὶ ὑπερένδοξον.
God and more-than-glorious

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος
As truly sacred and all-festal
αὕτη ἡ σωτήριος
this the saving
νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας
night and light-radiant of-the brightness-bearing day
τῆς ἐγέρσεως οὖσα προάγγελος,
of-the rising being forerunner
ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου
in which the timeless light from (the)-tomb
σωματικῶς πᾶσιν ἐπέλαμψεν.
bodily on-all shone

ᾠδὴ η΄
ode 8

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
This the called and holy day
ἡ μία τῶν σαββάτων, ἡ βασιλὶς καὶ κυρία,
the one of-the sabbaths the queen and lady
ἑορτῶν ἑορτὴ καὶ πανήγυρίς ἐστι πανηγύρεων,
of-feasts (the)-feast and festival it-is of-festivals
ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.
in which we-bless Christ to the ages

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,
Come of-the new of-the vine fruit
τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ
of-the divine gladness in the notable day
τῆς ἐγέρσεως βασιλείας τε Χριστοῦ κοινωνήσωμεν,
of-the rising of-(the)-kingdom and of-Christ let-us-partake
ὑμνοῦντες αὐτὸν ὡς θεὸν εἰς τοὺς αἰῶνας.
hymning him as God to the ages

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιών, καὶ ἴδε·
Raise around the eyes your Zion and see
ἰδοὺ γὰρ ἥκασί σοι θεοφεγγεῖς ὡς φωστῆρες
behold for have-come to-you God-illumined as luminaries
ἐκ δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου,
from west and north and sea and east the children your
ἐν σοὶ εὐλογοῦντα Χριστὸν εἰς τοὺς αἰῶνας.
in you blessing Christ to the ages

Πάτερ παντοκράτορ καὶ λόγε καὶ πνεῦμα,
Father almighty and word and spirit
τρισὶν ἑνιζομένη ἐν ὑποστάσεσι φύσις,
three united in hypostases nature
ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα
super-essential and super-divine into you we-have-been-baptized
καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.
and you we-bless to all the ages

ᾠδὴ θ΄
ode 9
Φωτίζου, φωτίζου ἡ νέα Ἰερουσαλήμ·
Be-enlightened be-enlightened the new Jerusalem
ἡ γὰρ δόξα κυρίου ἐπὶ σὲ ἀνέτειλε·
the for glory of-(the)-Lord upon you has-risen
χόρευε νῦν καὶ ἀγάλλου, Σιών·
dance now and exult Zion
σὺ δέ, ἁγνή, τέρπου, θεοτόκε,
you and pure delight God-bearer
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
in the rising of-the offspring your

Ὦ θείας! ὦ φίλης! ὦ γλυκυτάτης σου φωνῆς!
O divine O dear O sweetest your voice
μεθ' ἡμῶν ἀψευδῶς γὰρ ἐπηγγείλω ἔσεσθαι
with us unlyingly for you-promised to-be
μέχρι τερμάτων αἰῶνος, Χριστέ·
until (the)-ends of-(the)-age Christ
ἣν οἱ πιστοὶ ἄγκυραν ἐλπίδος
which the faithful (as)-anchor of-hope
κατέχοντες ἀγαλλόμεθα.
holding we-exult

Ὦ πάσχα τὸ μέγα καὶ ἱερώτατον, Χριστέ·
O Pascha the great and most-sacred Christ
ὦ σοφία καὶ λόγε τοῦ θεοῦ καὶ δύναμις,
O wisdom and word — of-God and power
δίδου ἡμῖν ἐκτυπώτερον
give to-us more-expressly
σοῦ μετασχεῖν ἐν τῇ ἀνεσπέρῳ
you to-partake in the unsetting
ἡμέρᾳ τῆς βασιλείας σου.
day of-the kingdom your

Κανὼν εἰς τὴν κυριακὴν τοῦ Ἀντίπασχα

V · ON THOMAS SUNDAY

The canon for the Sunday after Easter. Christ, risen, passes through closed doors and stands among his disciples, giving them peace. He shows his wounds, and Thomas, absent at his first coming, doubts and touches his side, which does not burn him, and confesses him Lord and God. Thomas's unbelief becomes the mother of faith for others. The eighth day is a type of the age to come, and the canon ends by praising the risen Christ and his mother.

ᾠδὴ α΄

ode 1

Ἄισωμεν πάντες λαοὶ τῷ ἐκ πικρᾶς δουλείας

Let-us-sing all peoples to-the(-one) from bitter slavery

Φαραὼ τὸν Ἰσραὴλ ἀπαλλάξαντι

of-Pharaoh — Israel having-freed

καὶ ἐν βυθῷ θαλάσσης ποδὶ ἀβρόχως ὁδηγήσαντι

and in (the)-depth of-(the)-sea on-foot dry-shod having-guided

ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

(a)-song victorious for he-has-been-glorified

Σήμερον ἔαρ ψυχῶν, ὅτι Χριστὸς ἐκ τάφου

Today (is)-spring of-souls for Christ from (the)-tomb

ὥσπερ ἥλιος ἐκλάμψας τριήμερος

like (the)-sun having-shone-forth on-the-third-day

τὸν ζοφερὸν χειμῶνα ἀπήλασε τῆς ἁμαρτίας ἡμῶν·

the gloomy winter drove-away of-the sin our

αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

him let-us-hymn for he-has-been-glorified

Ἡ βασιλὶς τῶν ὡρῶν τῇ λαμπροφόρῳ ἡμέρᾳ
The queen of-the seasons to-the brightness-bearing day
ἡμερῶν τε βασιλίδι φανότατα
of-days and to-(the)-queen most-brilliantly
δορυφοροῦσα τέρπει τὸν ἔκκριτον τῆς ἐκκλησίας λαόν,
escorting delights the chosen of-the church people
ἀπαύστως ἀνυμνοῦσα τὸν ἀναστάντα Χριστόν.
unceasingly hymning the having-risen Christ

Πύλαι θανάτου, Χριστέ, οὐδὲ τοῦ τάφου σφραγῖδες,
(The)-gates of-death Christ nor of-the tomb (the)-seals
οὐδὲ κλεῖθρα τῶν θυρῶν σοι ἀντέστησαν·
nor (the)-bars of-the doors to-you withstood
ἀλλ᾽ ἀναστὰς ἐπέστης τοῖς φίλοις σου, εἰρήνην, δέσποτα,
but having-risen you-stood-among the friends your peace master
δωρούμενος τὴν πάντα νοῦν ὑπερέχουσαν.
granting the(-one) all mind surpassing

ᾠδὴ γ΄
ode 3
Στερέωσόν με, Χριστέ, ἐπὶ τὴν ἄσειστον πέτραν
Make-firm me Christ upon the unshakable rock
τῶν ἐντολῶν σου,
of-the commandments your
καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου·
and enlighten me with-(the)-light of-the face your
οὐκ ἔστι γὰρ ἅγιος πλήν σου, φιλάνθρωπε.
not there-is for holy except you lover-of-mankind

Καινοὺς ἀντὶ παλαιῶν, ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους
New instead-of old instead-of corruptible and incorruptible
διὰ σταυροῦ σου,
through (the)-cross your
Χριστέ, τελέσας ἡμᾶς ἐν καινότητι
Christ having-made us in newness
ζωῆς πολιτεύεσθαι ἀξίως προσέταξας.
of-life to-live worthily you-commanded

Ἐν τάφῳ περικλεισθεὶς τῇ περιγράπτῳ σαρκί σου
In (a)-tomb having-been-shut-in by-the circumscribed flesh your
ὁ ἀπερίγραπτος,
the uncircumscribed(-one)
Χριστέ, ἀνέστης· θυρῶν κεκλεισμένων τε
Christ you-rose of-doors having-been-shut and
ἐπέστης σοῦ τοῖς μαθηταῖς, παντοδύναμε.
you-stood-among your the disciples all-powerful(-one)

Τοὺς μώλωπάς σου, Χριστέ, οὓς ἑκουσίως ὑπέστης
The bruises your Christ which willingly you-underwent
ὑπὲρ ἡμῶν,
for us
τοῖς μαθηταῖς σου φυλάξας μαρτύριον
for-the disciples your having-kept (as)-testimony
τῆς σῆς ἔδειξας ἐνδόξου ἀναστάσεως.
of-the your you-showed glorious resurrection

ᾠδὴ δ΄

ode 4

Μέγα τὸ μυστήριον τῆς σῆς, Χριστέ, οἰκονομίας·

Great the mystery of-the your Christ dispensation

τοῦτο γὰρ ἄνωθεν προβλέπων θεοπτικῶς ὁ Ἀββακούμ,

this for from-above foreseeing with-God-seeing-eyes — Habakkuk

ἐξῆλθες, ἐβόα σοι,

you-went-forth cried to-you

εἰς σωτηρίαν λαοῦ σου, φιλάνθρωπε.

for salvation of-(the)-people your lover-of-mankind

Χολῆς μὲν ἐγεύσατο, τὴν πάλαι γεῦσιν ἰώμενος·

Gall indeed he-tasted the of-old tasting healing

νυνὶ δὲ σὺν κηρίῳ μέλιτος τοῦ φωτισμοῦ μεταδιδοὺς

now and with (a)-honeycomb of-honey of-the illumination imparting

Χριστὸς τῷ προπάτορι

Christ to-the forefather

καὶ τῆς αὐτοῦ γλυκείας μεθέξεως.

and of-the his sweet participation

Χαίρεις ἐρευνώμενος· διό, φιλάνθρωπε, πρὸς τοῦτο

You-rejoice being-searched wherefore lover-of-mankind to this

προτρέπεις τὸν Θωμᾶν, προτείνων διαπιστοῦντι τὴν πλευράν,

you-urge — Thomas holding-out to-(the)-doubter the side

τῷ κόσμῳ πιστούμενος

to-the world giving-assurance

τὴν σήν, Χριστέ, τριήμερον ἔγερσιν.

the your Christ third-day rising

Πλοῦτον ἀρυσάμενος ἐκ θησαυροῦ τοῦ ἀσυλήτου,
Wealth having-drawn from (the)-treasure the unplundered
τῆς θείας, εὐεργέτα, λόγχῃ διανυγείσης σου πλευρᾶς,
of-the divine benefactor by-(the)-lance pierced of-your side
σοφίας καὶ γνώσεως
of-wisdom and knowledge
ἀναπιμπλᾷ τὸν κόσμον ὁ Δίδυμος.
fills the world the Twin

Σοῦ ἡ παμμακάριστος ὑμνεῖται γλῶσσα, ὦ Δίδυμε·
Your the all-blessed is-hymned tongue O Twin
πρώτη γὰρ εὐσεβῶς κηρύττει τὸν ζωοδότην Ἰησοῦν
first for piously proclaims the life-giver Jesus
θεόν τε καὶ κύριον,
God both and Lord
ἐκ τῆς ἁφῆς πλησθεῖσα τῆς χάριτος.
from the touch having-been-filled with-the grace

ᾠδὴ ϵ΄
ode 5
Ἐκ νυκτὸς ὀρθρίζοντες ὑμνοῦμέν σε, Χριστέ,
From night rising-early we-hymn you Christ
τὸν τῷ πατρὶ συνάναρχον καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν·
the(-one) with-the father co-beginningless and savior of-the souls our
τὴν εἰρήνην τῷ κόσμῳ παράσχου, φιλάνθρωπε.
the peace to-the world grant lover-of-mankind

Ἐπιστὰς τοῖς φίλοις ἀθυμοῦσιν ὁ σωτὴρ
Having-stood-among the friends despondent the savior
τῇ παρουσίᾳ ἅπασαν ἀπελαύνει τὴν κατήφειαν
by-the presence all drives-away the dejection
καὶ σκιρτᾶν διεγείρει ἐν τῇ ἀναστάσει αὐτοῦ.
and to-leap rouses in the resurrection his

Ὢ τῆς ἀληθῶς ἐπαινουμένης τοῦ Θωμᾶ
O the truly praised — of-Thomas
φρικτῆς ἐγχειρήσεως! τολμηρῶς γὰρ ἐψηλάφησε
dread venture daringly for he-touched
τὴν πλευρὰν τὴν τῷ θείῳ πυρὶ ἀπαστράπτουσαν.
the side the(-one) with-the divine fire flashing

Ἀπιστίαν πίστεως γεννήτριαν ἡμῖν
Unbelief of-faith (the)-mother for-us
τὴν τοῦ Θωμᾶ ἀνέδειξας· σὺ γὰρ πάντα τῇ σοφίᾳ σου
the — of-Thomas you-showed you for all(-things) by-the wisdom your
προνοεῖς συμφερόντως, Χριστέ, ὡς φιλάνθρωπος.
you-provide profitably Christ as lover-of-mankind

ᾠδὴ ϛ΄
ode 6

Τὸν προφήτην διέσωσας
The prophet you-saved
ἐκ τοῦ κήτους, φιλάνθρωπε·
from the sea-monster lover-of-mankind
κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων ἀνάγαγε, δέομαι.
me-too from-the depth of-the faults bring-up I-beg

Τὸν Θωμᾶν οὐ κατέλιπες
— Thomas not you-forsook
βαπτιζόμενον, δέσποτα,
plunged master
βυθῷ ἀπιστίας, παλάμας προτείνας εἰς ἔρευναν.
in-(the)-depth of-unbelief (the)-palms having-held-out for searching

Ὁ σωτὴρ ἡμῶν ἔλεγε·
The savior our said
ψηλαφῶντές με ἴδετε
touching me see
ὀστέα καὶ σάρκα φοροῦντα· ἐγὼ οὐκ ἠλλοίωμαι.
bones and flesh wearing I not have-been-changed

Τὴν πλευρὰν ἐψηλάφησε
The side touched
καὶ πιστεύσας ἐπέγνω σε
and having-believed recognized you
Θωμᾶς, μὴ παρών σου τῇ πρώτῃ εἰσόδῳ, σωτὴρ ἡμῶν.
Thomas not being-present your at-the first entrance savior our

ᾠδὴ ζ΄
ode 7
Εἰκόνι λατρεύειν μουσικῆς συμφωνίας
To-(an)-image to-pay-worship of-musical concord
συγκαλουμένης λαοὺς
calling-together peoples
ἐκ τῶν ᾠδῶν Σιὼν ᾄδοντες πατρικῶς οἱ παῖδες Δαυΐδ
from the songs of-Zion singing ancestrally the children of-David
τυράννου ἔλυσαν τὸ παλίμφημον δόγμα,
of-(the)-tyrant loosed the infamous decree
καὶ τὴν φλόγα εἰς δρόσον μετέβαλον,
and the flame into dew changed
ὕμνον ἀναμέλποντες· ὁ ὑπερυψούμενος
(a)-hymn singing the(-one) exalted-above-all
τῶν πατέρων καὶ ἡμῶν θεός, εὐλογητὸς εἶ.
of-the fathers and our God blessed are-you

Ὡς πρώτη ὑπάρχει ἡμερῶν καὶ κυρία
As first is of-days and lady
ἡ λαμπροφόρος αὕτη,
the brightness-bearing this(-day)
ἐν ᾗ ἀγάλλεσθαι ἄξιον τὸν καινὸν καὶ θεῖον λαόν·
in which to-exult (it-is)-worthy the new and divine people
ἐν τρόμῳ φέρει γὰρ καὶ αἰῶνος τὸν τύπον,
in trembling it-bears for and of-(the)-age the type
ὡς ὀγδοὰς τελοῦσα, τοῦ μέλλοντος·
as eighth being of-the coming(-age)
ὕμνον ἀναμέλποντα· ὁ ὑπερυψούμενος
(a)-hymn singing the(-one) exalted-above-all
τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.
of-the fathers and our God blessed are-you

Ὁ μόνος τολμήσας τῇ ἀπίστῳ τε πίστει
The(-one) alone having-dared by-the faithless and faith
εὐεργετήσας ἡμᾶς
having-done-good-to us
Θωμᾶς ὁ Δίδυμος λύει μὲν τὴν ζοφώδη ἄγνοιαν
Thomas the Twin loosens indeed the gloomy ignorance
τοῖς πᾶσι πέρασι τῇ πιστῇ ἀπιστίᾳ·
for-the all ends by-the faithful faithlessness
ἑαυτῷ δὲ τὸν στέφανον πλέκει, σαφῶς
for-himself and the crown weaves clearly
λέγων· σὺ εἶ κύριος ὁ ὑπερυψούμενος
saying you are Lord the(-one) exalted-above-all
τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.
of-the fathers and our God blessed are-you

Οὐ μάτην διστάσας ὁ Θωμᾶς τῇ ἐγέρσει
Not in-vain having-doubted — Thomas to-the rising
σου οὐ κατέθετο,
your not assented
ἀλλ᾽ ἀναμφίλεκτον ἔσπευδεν ἀποδεῖξαι ταύτην, Χριστέ,
but undisputed hastened to-show it Christ
τοῖς πᾶσιν ἔθνεσιν· ὅθεν δι᾽ ἀπιστίας
to-the all nations whence through unbelief
πιστωσάμενος πάντας ἐδίδαξε
having-been-assured all he-taught
λέγειν· σὺ εἶ κύριος, ὁ ὑπερυψούμενος
to-say you are Lord the(-one) exalted-above-all
τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.
of-the fathers and our God blessed are-you

Ἐμφόβως τὴν χεῖρα ὁ Θωμᾶς τῇ πλευρᾷ σου
Fearfully the hand — Thomas into-the side your
τῇ ζωηφόρῳ, Χριστέ,
the life-bearing Christ
ἐνθεὶς ὑπότρομος ᾔσθετο ἐνεργείας, σῶτερ, διπλῆς
having-put trembling perceived (the)-working savior double
τῶν δύο φύσεων τῶν ἐν σοὶ ἡνωμένων
of-the two natures the(-ones) in you united
ἀσυγχύτως καὶ πίστει ἐκραύγαζε
unconfusedly and in-faith cried-out
λέγων· σὺ εἶ κύριος, ὁ ὑπερυψούμενος
saying you are Lord the(-one) exalted-above-all
τῶν πατέρων καὶ ἡμῶν θεὸς εὐλογητὸς εἶ.
of-the fathers and our God blessed are-you

ᾠδὴ η΄

ode 8

Τὸν ἐν φλογὶ πυρὸς καιομένης καμίνου

The(-one) in (the)-flame of-fire of-burning furnace

διαφυλάξαντα παῖδας

having-preserved (the)-children

καὶ ἐν μορφῇ ἀγγέλου συγκαταβάντα τούτοις

and in (the)-form of-(an)-angel having-come-down to-them

ὑμνεῖτε κύριον

hymn (the)-Lord

καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

and exalt-above-all to all the ages

Ἐπιποθήσας σου τὴν χαρμόσυνον θέαν

Having-longed-for your the joyful sight

τὸ πρὶν ἠπίστει Θωμᾶς·

the formerly disbelieved Thomas

ἀξιωθεὶς δὲ ταύτης θεὸν καὶ κύριόν σε

having-been-deemed-worthy and of-it God and Lord you

ἐκάλει, δέσποτα,

he-called master

ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

whom we-exalt-above-all to all the ages

Τὸν ἀνασχόμενον τῆς Θωμᾶ ἀπιστίας
The(-one) having-borne-with the of-Thomas unbelief
καὶ ὑποδείξαντα πλευρὰν
and having-shown (his)-side
καὶ τῇ αὐτοῦ παλάμῃ ἀκριβολογηθέντα
and by-the his palm examined-exactly
ὑμνεῖτε κύριον
hymn (the)-Lord
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
and exalt-above-all him to the ages

Σοῦ τὸ περίεργον θησαυρὸν κεκρυμμένον
Your the curiosity (a)-treasure hidden
ἡμῖν ἀνέῳξε, Θωμᾶ·
for-us opened Thomas
θεολογήσας γλώσσῃ γὰρ θεοφορουμένῃ,
having-spoken-of-God with-tongue for God-borne
ὑμνεῖτε, ἔλεγες
hymn you-said
καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.
and exalt-above-all Christ to the ages

ᾠδὴ θ΄

ode 9

Σὲ τὴν φαεινὴν λαμπάδα καὶ μητέρα τοῦ φωτός,

You the shining lamp and mother of-the light

τὴν ἀρίζηλον δόξαν

the conspicuous glory

καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων

and higher than-all the creatures

ἐν ὕμνοις μεγαλύνομεν.

in hymns we-magnify

Σοῦ τὴν φαεινὴν ἡμέραν καὶ ὑπέρλαμπρον, Χριστέ,

Your the shining day and resplendent Christ

τὴν ὁλόφωτον χάριν,

the all-luminous grace

ἐν ᾗ ὡραῖος κάλλει τοῖς μαθηταῖς σου

in which beautiful in-beauty to-the disciples your

ἐπέστης, μεγαλύνομεν.

you-stood-among we-magnify

Σὲ τὸν χοϊκῇ παλάμῃ ψηλαφώμενον πλευρὰν

You the(-one) by-earthy palm touched (in-the)-side

καὶ μὴ φλέξαντα ταύτην

and not having-burned it

πυρὶ τῷ τῆς ἀΰλου θείας οὐσίας

with-fire the(-one) of-the immaterial divine essence

ἐν ὕμνοις μεγαλύνομεν.

in hymns we-magnify

Σὲ τὸν ὡς θεὸν ἐκ τάφου ἀναστάντα Ἰησοῦν
You the(-one) as God from (the)-tomb having-risen Jesus
οὐ βλεφάροις ἰδόντες,
not with-eyelids having-seen
ἀλλὰ καρδίας πόθῳ πεπιστευκότες
but of-(the)-heart by-longing having-believed
ἐν ὕμνοις μεγαλύνομεν.
in hymns we-magnify

KASSIA

ΚΑΣΣΙΑΣ

Three Hymns

Ἰδιόμελον εἰς τὴν Χριστοῦ γέννησιν

I · ON THE NATIVITY

When Augustus ruled alone, the rule of many ceased among men, and when Christ became man, the rule of many gods was abolished. As the cities came under one earthly kingdom, the nations came to believe in one Godhead. The peoples were enrolled by Caesar's decree, and the faithful by the name of the Godhead.

Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς
Augustus having-reigned-alone upon the earth
ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο·
the rule-of-many of-the men ceased
καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς ἁγνῆς
and you having-become-man from the pure(-one)
ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται·
the many-godhood of-the idols has-been-abolished
ὑπὸ μίαν βασιλείαν ἐγκόσμιον
under one kingdom of-this-world
αἱ πόλεις γεγένηνται·
the cities have-come
καὶ εἰς μίαν δεσποτείαν θεότητος
and into one lordship of-godhead
τὰ ἔθνη ἐπίστευσαν·
the nations believed
ἀπεγράφησαν οἱ λαοὶ τῷ δόγματι τοῦ Καίσαρος·
were-enrolled the peoples by-the decree — of-Caesar

ἐπεγράφημεν οἱ πιστοὶ ὀνόματι θεότητος
we-were-inscribed the faithful in-(the)-name of-godhead
σοῦ τοῦ ἐνανθρωπήσαντος θεοῦ ἡμῶν·
of-you the having-become-man God our
μέγα σου τὸ ἔλεος, κύριε, δόξα σοι.
great your the mercy Lord glory to-you

Ἰδιόμελον εἰς τὸ γενέθλιον Ἰωάννου τοῦ Βαπτιστοῦ

II · ON THE BIRTH OF JOHN THE BAPTIST

Isaiah's prophecy is fulfilled today in the birth of John, the greatest of the prophets: I send my messenger before your face. Like a soldier of the heavenly king, John prepared the way, a man by nature and an angel by his life, embracing purity and chastity and contending beyond nature. Kassia bids the faithful imitate him and ask him to intercede for their souls.

Ἡσαΐου νῦν τοῦ προφήτου ἡ φωνὴ
of-Isaiah now the prophet the voice
σήμερον ἐν τῇ τοῦ μείζονος προφητῶν κυήσει
today in the of-the greater than-prophets bearing
Ἰωάννου πεπλήρωται·
of-John has-been-fulfilled
Ἰδού, γάρ φησιν, ἀποστελῶ τὸν ἄγγελόν μου
Behold for he-says I-will-send the angel my
πρὸ προσώπου σου,
before (the)-face your
ὃς κατασκευάσει τὴν ὁδόν σου·
who will-prepare the way your

οὗτος οὖν, ὡς τοῦ ἐπουρανίου βασιλέως
this(-man) then as of-the heavenly king
στρατιώτης προδραμών,
soldier having-run-ahead
ὡς ἀληθῶς εὐθείας ἐποίει τὰς τρίβους τοῦ θεοῦ ἡμῶν,
as truly straight made the paths — of-God our
ἄνθρωπος μὲν τὴν φύσιν, ἄγγελος δὲ τὸν βίον ὑπάρχων·
(a)-man indeed in-the nature (an)-angel but in-the life being
ἁγνείαν γὰρ παντελῆ καὶ σωφροσύνην ἀσπασάμενος
purity for complete and chastity having-embraced
εἶχε μὲν τὸ κατὰ φύσιν, ἔφυγε δὲ τὸ παρὰ φύσιν, 10
he-had indeed the according-to nature fled but the against nature
ὑπὲρ φύσιν ἀγωνισάμενος·
beyond nature having-contended
αὐτὸν ἅπαντες πιστοὶ ἐν ἀρεταῖς μιμούμενοι
him all faithful in virtues imitating
πρεσβεύειν ὑπὲρ ἡμῶν δυσωπήσωμεν
to-intercede for us let-us-entreat
εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
for the to-be-saved the souls our

Ἰδιόμελον εἰς τὴν μεγάλην Τετάρτην

III · THE SINFUL WOMAN (HOLY WEDNESDAY)

The woman fallen into many sins, perceiving Christ's divinity, brings him myrrh before his burial, lamenting that night has fallen on her, a dark and moonless frenzy of desire. She asks him to receive her tears, to bow to her sighs, and to let her kiss and wipe his feet with her hair, the feet whose sound Eve heard in paradise and hid. No one can trace the multitude of her sins or the depths of his judgments; she begs him not to overlook his servant, for his mercy is boundless.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνή,
Lord the in many sins having-fallen woman
τὴν σὴν αἰσθομένη θεότητα,
the your having-perceived godhead
μυροφόρου ἀναλαβοῦσα τάξιν,
of-(a)-myrrh-bearer having-taken-up (the)-rank
ὀδυρομένη μύρον σοι πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει·
lamenting myrrh to-you before the burial brings
οἴμοι! λέγουσα, ὅτι νύξ μοι ὑπάρχει,
woe-is-me saying for night to-me is
οἶστρος ἀκολασίας ζοφώδης τε καὶ ἀσέληνος,
(a)-frenzy of-licentiousness dark both and moonless
ἔρως τῆς ἁμαρτίας·
(a)-yearning of-the sin
δέξαι μου τὰς πηγὰς τῶν δακρύων
receive my the springs of-the tears
ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ·
the(-one) by-clouds drawing-up of-the sea the water

κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας
be-bent to-me toward the groanings of-the heart
ὁ κλίνας τοὺς οὐρανοὺς τῇ ἀφράστῳ σου κενώσει·
the(-one) having-bowed the heavens by-the ineffable your self-emptying
καταφιλήσω τοὺς ἀχράντους σου πόδας,
I-will-kiss the spotless your feet
ἀποσμήξω τούτους δὲ πάλιν
I-will-wipe these and again
τοῖς τῆς κεφαλῆς μου βοστρύχοις·
with-the of-the head my locks
ὧν ἐν τῷ παραδείσῳ Εὔα τὸ δειλινὸν
whose in the paradise Eve (in)-the evening
κρότον τοῖς ὠσὶν ἠχηθεῖσα τῷ φόβῳ ἐκρύβη·
sound in-the ears having-heard-ring in-the fear hid
ἁμαρτιῶν μου τὰ πλήθη καὶ κριμάτων σου ἀβύσσους
of-sins my the multitudes and of-judgments your abysses
τίς ἐξιχνιάσει, ψυχοσῶστα σωτήρ μου;
who will-trace-out soul-saving savior my
μή με τὴν σὴν δούλην παρίδῃς
not me the your handmaid overlook
ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.
the(-one) immeasurable having the mercy